LUCIANO

DIÁLOGOS DE LOS DIOSES



TRADUCCIÓN Y NOTAS POR JOSÉ LUIS NAVARRO GONZÁLEZ
La traducción ha sido revisada por JESÚS UREÑA BRACERO
Texto griego de Luciano:
https://el.wikisource.org/wiki/%CE%98%CE%B5%CF%8E%CE%BD_%CE%94%CE%B9%CE%AC%CE%BB%CE%BF%CE%B3%CE%BF%CE%B9

DIÁLOGOS DE LOS DIOSES
ΘΕΩΝ ΔΙΑΛΟΓΟΙ

Los *Diálogos de los dioses* no son precisamente una colección de estampas o cuadros más o menos idílicos y remansados al modo de los *Marinos* que acabamos de leer.

Disfrazados a veces bajo esa capa de suavidad e incluso en algún caso de cierta ternura, ocultan una invectiva constante a lo más sagrado del alma griega: sus raíces mitológicas. En el centro de las críticas, Zeus en su punto débil: su capacidad para seducir a cualquier precio, de cualquier forma, en cualquier momento y a cualquier persona —hombre o mujer—. A un rey de dioses no parece cuadrarle esta fiebre amorosa. Con machacona insistencia insiste Luciano en ese punto, bien desde la óptica de alguna de esas personas mortales seducidas —como el propio Ganimedes o desde la suya propia o desde terceras personas, generalmente de su entorno próximo, como la propia y sufrida Hera o el incombustible aunque quejoso Hermes. Son, pues, las estampas más chocantes y grotescas del mito las que se traen a colación sin ningún disimulo. Pensemos en el increíble nacimiento de Atenea de la cabeza de Zeus con Hefesto de improvisada comadrona. Así, los aspectos que el mito presenta como más imaginarios y más inverosímiles —las metamorfosis de Zeus son el mejor ejemplo—se ven desde una óptica racionalista en grado sumo. Surge entonces el disparate al que aludíamos en la «Introducción general». El título parece bastante acertado, por cuanto que a lo largo de los veinticinco diálogos toman la palabra todos los componentes del panteón olímpico por antonomasia, con dos excepciones que no se han destacado y que me parecen significativas: Atenea y Ártemis. Zeus, Hera, Afrodita en repetidas ocasiones, Apolo, Dioniso, Hermes, Ares, Hefesto van desfilando sucesivamente y dan rienda suelta a sus comentarios más o menos impertinentes. Atenea y Ártemis, en cambio, permanecen mudas en el pozo del olvido, con la excepción ya citada de la alusión al episodio del nacimiento de la primera. ¿Es que Luciano no tiene más remedio que ser cauto con la diosa ateniense por antonomasia? ¿Es que no se le puede sacar punta por ningún lado a la saga de Atenea, como no sea la de su pintoresca procedencia? ¿Y Ártemis? ¿No le interesa a Luciano la saga de esta diosa cargada de momentos tensos que podían haberse traído a colación muy oportunamente? Posiblemente el hecho de tratarse de dos vírgenes deje a Luciano desarmado a la hora de disparar sus flechas. No obstante, el carácter marcadamente irascible y vengativo de Ártemis podría haberse explotado tal vez desde el punto de vista literario. En cualquier caso, aquí está la flor y nata del Olimpo expuesta a los dardos ingeniosos de Luciano que se disparan en esta ocasión con singular acierto.

ARES Y HERMES
Ἄρεως καὶ Ἑρμοῦ

Ἄρης 1 Ἤκουσας, ὦ Ἑρμῆ, οἷα ἠπείλησεν ἡμῖν ὁ Ζεύς, ὡς ὑπεροπτικὰ καὶ ὡς ἀπίθανα; Ἢν ἐθελήσω, φησίν, ἐγὼ μὲν ἐκ τοῦ οὐρανοῦ σειρὰν καθήσω, ὑμεῖς δὲ ἀποκρεμασθέντες κατασπᾶν βιάσεσθέ με, ἀλλὰ μάτην πονήσετε· οὐ γὰρ δὴ καθελκύσετε· εἰ δὲ ἐγὼ θελήσαιμι ἀνελκύσαι, οὐ μόνον ὑμᾶς, ἀλλὰ καὶ τὴν γῆν ἅμα καὶ τὴν θάλασσαν συναναςπάσας μετεωριῶ· καὶ τἄλλα ὅσα καὶ σὺ ἀκήκοας. ἐγὼ δὲ ὅτι μὲν καθ' ἕνα πάντων ἀμείνων καὶ ἰσχυρότερός ἐστιν οὐκ ἂν ἀρνηθείην, ὁμοῦ δὲ τῶν τοσούτων ὑπερφέρειν, ὡς μὴ καταβαρήσειν αὐτόν, ἢν τὴν γῆν καὶ τὴν θάλασσαν προσλάβωμεν, οὐκ ἂν πεισθείην.

1 ARES. — ¿Oíste, Hermes, qué tipo de amenazas tan desafiantes y tan inconcebibles nos lanzó Zeus?... «Si yo quisiera, afirma, echaría una cuerda desde el cielo, y aunque vosotros colgándoos de ella hicierais fuerza para tirar de mí, vuestro esfuerzo sería vano, pues no lograríais arrastrarme. Yo en cambio si quisiera tirar hacia arriba levantaría en volandas no sólo a vosotros sino incluso la tierra y la mar todos de un golpe[1]. Y toda una serie de amenazas que has oído. Yo desde luego no negaría que él es superior y más fuerte que nosotros por separado; sin embargo me costaría trabajo creer que pudiera rebasarnos siendo tantos como para no poder apechugar con él, máxime añadiendo la tierra y el mar.

2 **Ἑρμῆς** Εὐφήμει, ὦ Ἄρες· οὐ γὰρ ἀσφαλὲς λέγειν τὰ τοιαῦτα, μὴ καί τι κακὸν ἀπολαύσωμεν τῆς φλυαρίας.

2 HERMES. — Guarda silencio, Ares, que no es seguro pronunciar tales palabras, no vaya a ser que nuestras fruslerías vayan a acarrearnos alguna desgracia.

Ἄρης Οἴει γάρ με πρὸς πάντας ἂν ταῦτα εἰπεῖν, οὐχὶ δὲ πρὸς μόνον σέ, ὃν ἐχεμυθήσειν ἠπιστάμην; ὃ γοῦν μάλιστα γελοῖον ἔδοξέ μοι ἀκούοντι μεταξὺ τῆς ἀπειλῆς, οὐκ ἂν δυναίμην σιωπῆσαι πρὸς σέ· μέμνημαι γὰρ οὐ πρὸ πολλοῦ, ὁπότε ὁ Ποσειδῶν καὶ ἡ Ἥρα καὶ ἡ Ἀθηνᾶ ἐπαναστάντες ἐπεβούλευον ξυνδῆσαι λαβόντες αὐτόν, ὡς παντοῖος ἦν δεδιώς, καὶ ταῦτα τρεῖς ὄντας, καὶ εἰ μή γε ἡ Θέτις κατελεήσασα ἐκάλεσεν αὐτῷ σύμμαχον Βριάρεων ἑκατόγχειρα ὄντα, κἂν ἐδέδετο

ARES. — ¿Crees, pues, que iba yo a andar contando estas cosas a todo el mundo y no a ti solo que, bien lo sé, ibas a quedarte mudo como una piedra? Al menos lo que me resultó más ridículo en medio de esa sarta de amenazas no me lo podría callar ante ti. Pues me ha venido a la cabeza que no hace mucho tiempo, cuando Poseidón, Hera y Atenea sublevándose contra él tramaron el modo de encadenarlo luego de prenderlo, sentía él toda clase de temores[2]. Y eso que no eran nada más que


[1] Cf. HOMERO, *Ilíada* VIII 19 y sigs., el propio LUCIANO, *Zeus confundido* 4, y *Zeus Trágico* 45.
[2] Con respecto a este complot, véase HOMERO, *Ilíada* I 390 y sigs., y el propio LUCIANO, *Zeus Trágico* 40.

αὐτῷ κεραυνῷ καὶ βροντῇ. ταῦτα λογιζομένῳ ἐπῄει μοι γελᾶν ἐπὶ τῇ καλλιῤῥημοσύνῃ αὐτοῦ.

tres; y si Tetis, compadeciéndose de él no hubiera llamado en su ayuda a Briareo[3], el de las cien manos, le habrían encadenado con rayo y trueno incluido; al hacer cuenta de esos sucesos me entró la risa por su grandilocuencia altanera.

Ἑρμῆς Σιώπα, φημί· οὐ γὰρ ἀσφαλὲς οὔτε σοὶ λέγειν οὔτ' ἐμοὶ ἀκούειν τὰ τοιαῦτα.

HERMES. — Calla, te digo, que no es seguro ni para ti el contar semejantes cosas ni para mí el oírlas.



[3] Uno de los gigantes o mejor de los Titanes, a decir de los mitógrafos.

2 (22)

PAN Y HERMES
Πανὸς καὶ Ἑρμοῦ

1 **Πᾶν** Χαῖρε, ὦ πάτερ Ἑρμῆ.

Ἑρμῆς Μὴ καὶ σύ γε. ἀλλὰ πῶς ἐγὼ σὸς πατήρ;

Πᾶν Οὐχ ὁ Κυλλήνιος Ἑρμῆς ὢν τυγχάνεις;

Ἑρμῆς Καὶ μάλα. πῶς οὖν υἱὸς ἐμὸς εἶ;

Πᾶν Μοιχίδιός εἰμι, ἐξ ἔρωτός σοι γενόμενος.

Ἑρμῆς Νὴ Δία, τράγου ἴσως τινὸς μοιχεύσαντος αἶγα· ἐμοὶ γὰρ πῶς, κέρατα ἔχων καὶ ῥῖνα τοιαύτην καὶ πώγωνα λάσιον καὶ σκέλη διχαλὰ καὶ τραγικὰ καὶ οὐρὰν ὑπὲρ τὰς πυγάς;

Πᾶν Ὅσα ἂν ἀποσκώψῃς με, τὸν σεαυτοῦ υἱόν, ὦ πάτερ, ἐπονείδιστον ἀποφαίνεις, μᾶλλον δὲ σεαυτόν, ὃς τοιαῦτα γεννᾷς καὶ παιδοποιεῖς, ἐγὼ δὲ ἀναίτιος.

Ἑρμῆς Τίνα καὶ φῄς σου μητέρα; ἤ που ἔλαθον αἶγα μοιχεύσας ἔγωγε;

Πᾶν Οὐκ αἶγα ἐμοίχευσας, ἀλλ' ἀνάμνησον σεαυτόν, εἴ ποτε ἐν Ἀρκαδίᾳ παῖδα ἐλευθέραν ἐβιάσω. τί δακὼν τὸν δάκτυλον ζητεῖς καὶ ἐπὶ πολὺ ἀπορεῖς; τὴν Ἰκαρίου λέγω Πηνελόπην.

Ἑρμῆς Εἶτα τί παθοῦσα ἐκείνη ἀντ' ἐμοῦ τράγῳ σε ὅμοιον ἔτεκεν;

2 **Πᾶν** Αὐτῆς ἐκείνης λόγον σοι ἐρῶ· ὅτε γάρ με ἐξέπεμπεν ἐπὶ τὴν Ἀρκαδίαν, Ὦ παῖ, μήτηρ μέν σοι, ἔφη, ἐγώ εἰμι,

1 PAN. — ¡Salud, padre Hermes!

HERMES. — Salud a ti también. Pero ¿cómo es que soy yo tu padre?

PAN. — ¿Es que no eres tú Hermes Cilenio[4]?

HERMES. — Por supuesto que sí. Mas ¿cómo eres tú hijo mío?

PAN. — Soy hijo espurio, bastardo, fruto de tu ímpetu amoroso.

HERMES. — Sí, por Zeus; tal vez de un cabrón que cometió adulterio con una cabra; porque ¿cómo hijo mío, con semejantes Cuernos, semejante nariz, semejante barba poblada, patas bisulcas de macho cabrío y con rabo asomando por el culo?

PAN. — En la medida en que te burlas de mí, tu hijo, estás colmándote de insultos a ti mismo, padre, que engendraste y fabricaste semejantes hijos; yo no soy en absoluto culpable.

HERMES. — ¿Y quién dices que es tu madre? ¿Será que sin darme cuenta seduje a alguna cabra?

PAN. — No sedujiste a ninguna cabra, pero refresca tu memoria, a ver si en cierta ocasión forzaste en Arcadia a una moza libre... ¿Qué pretendes mordiéndote el dedo y te quedas pasmado? Me estoy refiriendo a Penélope la hija de Icario[5].

HERMES. — ¿Y qué le sucedió para parirte cabrón en lugar de semejante a mí?

2 PAN. — Con sus propias palabras te contaré la historia. Al enviarme a Arcadia me dijo: «Hijo, yo soy Penélope la espartiata, tu

---

[4] Este sobrenombre de Hermes hace alusión al nacimiento de Hermes en una cueva del monte Cilene, al sur de Arcadia; en este sentido es «paisano» de Pan, dios de pastores y rebaños cuyo culto se propaga pronto por toda Grecia.

[5] Por más que pueda resultar un tanto sorprendente para el lector esta Penélope a la que alude Pan es la virtuosa esposa de Ulises.

Πηνελόπη ἡ Σπαρτιᾶτις, τὸν πατέρα δὲ γίνωσκε θεὸν ἔχων Ἑρμῆν Μαίας καὶ Διός. εἰ δὲ κερασφόρος καὶ τραγοσκελὴς εἶ, μὴ λυπείτω σε· ὁπότε γάρ μοι συνῄει ὁ πατὴρ ὁ σός, τράγῳ ἑαυτὸν ἀπείκασεν, ὡς λάθοι, καὶ διὰ τοῦτο ὅμοιος ἀπέβης τῷ τράγῳ.

madre, pero sábete que tienes por padre a un dios, a Hermes, hijo de Maya y de Zeus. Y si llevas cuernos y tienes patas de cabrón, no debes afligirte por ello, que cuando tu padre se acostó conmigo adoptó la imagen de un macho cabrío a fin de pasar desapercibido y de resultas de ello saliste tú parecido a un cabrón.

Ἑρμῆς Νὴ Δία, μέμνημαι ποιήσας τοιοῦτόν τι. ἐγὼ οὖν ὁ ἐπὶ κάλλει μέγα φρονῶν, ἔτι ἀγένειος αὐτὸς ὢν σὸς πατὴρ κεκλήσομαι καὶ γέλωτα ὀφλήσω παρὰ πᾶσιν ἐπὶ τῇ εὐπαιδίᾳ;

HERMES. — Sí, por Zeus, ya me acuerdo de haber hecho algo semejante. ¿Así que yo, que tanto presumo de mi belleza y que para colmo soy barbilampiño, voy a ser llamado padre tuyo y a ser el hazmerreír de todos por este hijo tan guapo?

3 **Πᾶν** Καὶ μὴν οὐ καταισχυνῶ σε, ὦ πάτερ· μουσικός τε γάρ εἰμι καὶ συρίζω πάνυ καπυρόν, καὶ ὁ Διόνυσος οὐδὲν ἐμοῦ ἄνευ ποιεῖν δύναται, ἀλλὰ ἑταῖρον καὶ θιασώτην πεποίηταί με, καὶ ἡγοῦμαι αὐτῷ τοῦ χοροῦ· καὶ τὰ ποίμνια δὲ εἰ θεάσαιό μου, ὁπόσα περὶ Τεγέαν καὶ ἀνὰ τὸ Παρθένιον ἔχω, πάνυ ἡσθήσῃ· ἄρχω δὲ καὶ τῆς Ἀρκαδίας ἁπάσης· πρῴην δὲ καὶ Ἀθηναίοις συμμαχήσας οὕτως ἠρίστευσα Μαραθῶνι, ὥστε καὶ ἀριστεῖον ᾑρέθη μοι τὸ ὑπὸ τῇ ἀκροπόλει σπήλαιον. ἢν γοῦν εἰς Ἀθήνας ἔλθῃς, εἴσῃ ὅσον ἐκεῖ τοῦ Πανὸς ὄνομα.

3 PAN. — Yo no voy a dar motivo para que te avergüences de mí, padre. Pues soy músico y toco la siringe con total suavidad y Dioniso no puede hacer nada sin contar conmigo sino que me ha nombrado compañero y miembro de su cortejo, y además le dirijo el coro. Y si pudieras contemplar mis rebaños, cuántos tengo por Tegea y en las laderas del Partenio, te pondrías contentísimo; soy también dueño y señor de toda Arcadia e incluso ayer, como quien dice, luchando como aliado de los Atenienses en Maratón destaqué por mi valor de tal manera que como premio se me concedió la cueva que hay al pie de la Acrópolis. Y caso que vayas a Atenas sabrás lo importante que es allí el nombre de Pan[6].

4 **Ἑρμῆς** Εἰπὲ δέ μοι, γεγάμηκας, ὦ Πάν, ἤδη; τοῦτο γάρ, οἶμαι, καλοῦσίν σε.

4 HERMES. — Y dime, ¿te has casado ya, Pan, pues creo que es así como te llaman?

Πᾶν Οὐδαμῶς, ὦ πάτερ· ἐρωτικὸς γάρ εἰμι καὶ οὐκ ἂν ἀγαπήσαιμι συνὼν μιᾷ.

PAN. — ¡Qué va!, padre, pues soy propenso a enamorarme y no me conformaría fácilmente con acostarme con una sola.

Ἑρμῆς Ταῖς οὖν αἰξὶ δηλαδὴ ἐπιχειρεῖς.

HERMES. — A la vista está que andas metiendo mano a las cabras.

Πᾶν Σὺ μὲν σκώπτεις, ἐγὼ δὲ τῇ τε Ἠχοῖ καὶ τῇ Πίτυϊ σύνειμι καὶ ἁπάσαις

PAN. — Te burlas de mí, yo me acuesto con Eco, Pítide y todas las ménades de Dioniso, y

[6] Tan importante que en la ladera noroeste de la Acrópolis se encontraba y veneraba la cueva de Pan, cuya intervención legendaria en Maratón es glosada por HERÓDOTO, VI 105, y por el propio LUCIANO, *Doble acusación*, y *Aficionado a la mentira* 3.

ταῖς τοῦ Διονύσου Μαινάσι καὶ πάνυ σπουδάζομαι πρὸς αὐτῶν.

se me rifan.

Ἑρμῆς Οἶσθα οὖν, ὦ τέκνον, ὅ τι χαρίσῃ τὸ πρῶτον αἰτοῦντί μοι;

HERMES. — ¿Sabes, entonces, hijo, cuál es el primer favor que voy a pedirte?

Πᾶν Πρόσταττε, ὦ πάτερ· ἡμεῖς μὲν ἴδωμεν ταῦτα.

PAN. — Mándame, padre, sepamos cuál es.

Ἑρμῆς Καὶ πρόσιθί μοι καὶ φιλοφρονοῦ· πατέρα δὲ ὅρα μὴ καλέσῃς με ἄλλου ἀκούοντος.

HERMES. — Acércate y abrázame, pero mira de no llamarme padre tuyo cuando pueda oírlo otro.

3 (23)

APOLO Y DIONISO
Ἀπόλλωνος καὶ Διονύσου

Ἀπόλλων 1 Τί ἂν λέγοιμεν; ὁμομητρίους, ὦ Διόνυσε, ἀδελφοὺς ὄντας Ἔρωτα καὶ Ἑρμαφρόδιτον καὶ Πρίαπον, ἀνομοιοτάτους εἶναι τὰς μορφὰς καὶ τὰ ἐπιτηδεύματα; ὁ μὲν γὰρ πάγκαλος καὶ τοξότης καὶ δύναμιν οὐ μικρὰν περιβεβλημένος ἁπάντων ἄρχων, ὁ δὲ θῆλυς καὶ ἡμίανδρος καὶ ἀμφίβολος τὴν ὄψιν· οὐκ ἂν διακρίναις εἴτ' ἔφηβός ἐστιν εἴτε καὶ παρθένος· ὁ δὲ καὶ πέρα τοῦ εὐπρεποῦς ἀνδρικὸς ὁ Πρίαπος.

1 APOLO. — ¿Cómo podríamos explicar, Dionisio, que siendo hermanos por parte de madre Eros, Hermafrodito y Príapo tengan un aspecto externo y una forma de comportarse tan distintas? porque el uno es muy hermoso, arquero y provisto de una fuerza no pequeña y es dueño y señor de todos; el otro en cambio[7] es afeminado y semihombre y de aspecto ambiguo, no podría distinguirse si se trata de un mozo o de una moza; el tercero es varonil hasta la exageración.

Διόνυσος Μηδὲν θαυμάσῃς, ὦ Ἄπολλον· οὐ γὰρ Ἀφροδίτη αἰτία τούτου, ἀλλὰ οἱ πατέρες διάφοροι γεγενημένοι, ὅπου γε καὶ ὁμοπάτριοι πολλάκις ἐκ μιᾶς γαστρός, ὁ μὲν ἄρσην, ἡ δὲ θήλεια, ὥσπερ ὑμεῖς, γίνονται.

DIONISO. — No hay que extrañarse, pues no tiene Afrodita la culpa de ello sino sus padres que fueron muy distintos; en muchas ocasiones hijos del mismo padre nacidos de un solo vientre resultan el uno varón y el otro hembra como vosotros.

Ἀπόλλων Ναί· ἀλλ' ἡμεῖς ὅμοιοί ἐσμεν καὶ ταὐτὰ ἐπιτηδεύομεν· τοξόται γὰρ ἄμφω.

APOLO. — Sí, pero nosotros somos parecidos y tenemos los mismos comportamientos, pues ambos somos arqueros.

Διόνυσος Μέχρι μὲν τόξου τὰ αὐτά, ὦ Ἄπολλον, ἐκεῖνα δὲ οὐχ ὅμοια, ὅτι ἡ μὲν Ἄρτεμις ξενοκτονεῖ ἐν Σκύθαις, σὺ δὲ μαντεύῃ καὶ ἰᾷ τοὺς κάμνοντας.

DIONISO. — Hasta el arco llega el parecido, Apolo, pues otras facetas no son semejantes; así Ártemis anda matando extranjeros en el país de los escitas, en tanto que tú das oráculos y sanas a los enfermos.

2 **Ἀπόλλων** Οἴει γὰρ τὴν ἀδελφὴν χαίρειν τοῖς Σκύθαις, ἥ γε καὶ παρεσκεύασται, ἤν τις Ἕλλην ἀφίκηταί ποτε εἰς τὴν Ταυρικήν, συνεκπλεῦσαι μετ' αὐτοῦ μυσαττομένη τὰς σφαγάς;

2 APOLO. — ¿Tú crees que mi hermana está contenta en el país de los escitas, ella que está preparada, caso que llegue un griego a la Táuride, a embarcarse con él porque le dan asco las matanzas?[8]

Διόνυσος Εὖ γε ἐκείνη ποιοῦσα. ὁ μέντοι Πρίαπος, γελοῖον γάρ τί σοι διηγήσομαι, πρῴην ἐν Λαμψάκῳ γενόμενος, ἐγὼ μὲν

DIONISO. — Hace bien. Sin embargo, Príapo..., voy a contarte una historia muy graciosa. Estando ayer como quien dice en

[7] El primero es Eros, el segundo es Hermafrodito y el tercero es Príapo.
[8] Alusión al papel que desempeña Artemis en la *Ifigenia entre los Tauros en* versión de Eurípides.

παρῄειν τὴν πόλιν, ὁ δὲ ὑποδεξάμενός με καὶ ξενίσας παρ' αὑτῷ, ἐπειδὴ ἀνεπαυσάμεθα ἐν τῷ συμποσίῳ ἱκανῶς ὑποβεβρεγμένοι, κατ' αὐτάς που μέσας νύκτας ἐπαναστὰς ὁ γενναῖος αἰδοῦμαι δὲ λέγειν.

Ἀπόλλων Ἐπείρα σε, Διόνυσε;

Διόνυσος Τοιοῦτόν ἐστι.

Ἀπόλλων Σὺ δὲ τί πρὸς ταῦτα;

Διόνυσος Τί γὰρ ἄλλο ἢ ἐγέλασα;

Ἀπόλλων Εὖ γε, τὸ μὴ χαλεπῶς μηδὲ ἀγρίως· συγγνωστὸς γάρ, εἰ καλόν σε οὕτως ὄντα ἐπείρα.

Διόνυσος Τούτου μὲν ἕνεκα καὶ ἐπὶ σὲ ἄν, ὦ Ἄπολλον, ἀγάγοι τὴν πεῖραν· καλὸς γὰρ σὺ καὶ κομήτης, ὡς καὶ νήφοντα ἄν σοι τὸν Πρίαπον ἐπιχειρῆσαι.

Ἀπόλλων Ἀλλ᾽ οὐκ ἐπιχειρήσει γε, ὦ Διόνυσε· ἔχω γὰρ μετὰ τῆς κόμης καὶ τόξα.

Lámpsaco, andaba yo por la ciudad; él me acogió y me dio hospitalidad en su casa. Después de acostarnos luego de habernos empapado de lo lindo en el banquete, al filo de la media noche el buen hombre se levantó y... me da vergüenza decirlo.

APOLO. — ¿Intentó meterte mano, Dioniso?

DIONISO. — Algo así.

APOLO. — ¿Y tú cómo reaccionaste?

DIONISO. — ¿Qué otra cosa iba a hacer que echarme a reír?

APOLO. — Hiciste muy bien en no reaccionar de forma airada o violenta, pues es disculpable, siendo tú tan apuesto como eres, que intentara meterte mano.

DIONISO. — Precisamente por ello podría intentar sus tanteos contigo, Apolo, que tú también eres guapo, de larga cabellera, así que aun estando sobrio, bien podría Príapo meterte mano.

APOLO. — Pero no me la va a meter, Dioniso, porque además de la melena tengo también el arco y las flechas.

4 (24)

HERMES Y MAYA
Ἑρμοῦ καὶ Μαίας

1 **Ἑρμῆς** Ἔστι γάρ τις, ὦ μῆτερ, ἐν οὐρανῷ θεὸς ἀθλιώτερος ἐμοῦ;

1 HERMES. — ¿Es que hay en el cielo, madre, una divinidad más desgraciada que yo?

Μαῖα Μὴ λέγε, ὦ Ἑρμῆ, τοιοῦτον μηδέν.

MAYA. — No digas una cosa así, Hermes.

Ἑρμῆς Τί μὴ λέγω, ὃς τοσαῦτα πράγματα ἔχω μόνος κάμνων καὶ πρὸς τοσαύτας ὑπηρεσίας διασπώμενος; ἕωθεν μὲν γὰρ ἐξαναστάντα σαίρειν τὸ συμπόσιον δεῖ καὶ διαστρώσαντα τὴν κλισίαν εὐθετίσαντά τε ἕκαστα παρεστάναι τῷ Διὶ καὶ διαφέρειν τὰς ἀγγελίας τὰς παρ' αὐτοῦ ἄνω καὶ κάτω ἡμεροδρομοῦντα, καὶ ἐπανελθόντα ἔτι κεκονιμένον παρατιθέναι τὴν ἀμβροσίαν· πρὶν δὲ τὸν νεώνητον τοῦτον οἰνοχόον ἥκειν, καὶ τὸ νέκταρ ἐγὼ ἐνέχεον. τὸ δὲ πάντων δεινότατον, ὅτι μηδὲ νυκτὸς καθεύδω μόνος τῶν ἄλλων, ἀλλὰ δεῖ με καὶ τότε τῷ Πλούτωνι ψυχαγωγεῖν καὶ νεκροπομπὸν εἶναι καὶ παρεστάναι τῷ δικαστηρίῳ· οὐ γὰρ ἱκανά μοι τὰ τῆς ἡμέρας ἔργα, ἐν παλαίστραις εἶναι καὶ ταῖς ἐκκλησίαις κηρύττειν καὶ ῥήτορας ἐκδιδάσκειν, ἀλλ' ἔτι καὶ νεκρικὰ συνδιαπράττειν μεμερισμένον.

HERMES. — ¿Cómo no voy a decirla yo que tengo tantísimos asuntos que atender y trabajar yo solo desperdigándome en tantos servicios? Por la mañana recién levantado tengo que barrer la sala del banquete, y luego de extender el cojín del diván y poner en orden cada cosa, presentarme a Zeus y hacer llegar sus recados, corriendo todo el santo día para arriba y para abajo, y cuando vuelvo, manchado aún de polvo, servir la ambrosía. Y antes de que llegara el copero ese recién adquirido, tenía yo también que escanciar el néctar[9]. Y lo peor del caso es que de todos soy el único que no duerme por la noche, sino que entonces he de llevarle en comitiva las almas a Plutón, acompañar a los muertos y estar presente en la sesión del tribunal. Por lo visto no tengo bastante con mis quehaceres diurnos, a saber, estar en las palestras, actuar de pregonero en las asambleas e instruir a los oradores, sino que encima, dividido en trozos[10], he de organizar los asuntos de los muertos.

2 καίτοι τὰ μὲν τῆς Λήδας τέκνα παρ' ἡμέραν ἑκάτερος ἐν οὐρανῷ ἢ ἐν ᾅδου

2 Los hijos de Leda[11], en cambio, están cada uno de ellos un día en el cielo y otro

[9] Menciona Hermes a Ganimedes, que raptado por Zeus pasó a su servicio como copero de los dioses, descargando al dios del caduceo de este menester.

[10] Así dice literalmente el texto griego; en castellano cuando alguien debe realizar varias funciones al mismo tiempo decimos que actúa «multiplicándose».

[11] Alusión a Cástor y Pólux.

εἰσίν, ἐμοὶ δὲ καθ' ἑκάστην ἡμέραν κἀκεῖνα καὶ ταῦτα ποιεῖν ἀναγκαῖον, καὶ οἱ μὲν Ἀλκμήνης καὶ Σεμέλης ἐκ γυναικῶν δυστήνων γενόμενοι εὐωχοῦνται ἀφρόντιδες, ὁ δὲ Μαίας τῆς Ἀτλαντίδος διακονοῦμαι αὐτοῖς. καὶ νῦν ἄρτι ἥκοντά με ἀπὸ Σιδῶνος παρὰ τῆς Κάδμου θυγατρός, ἐφ' ἣν πέπομφέ με ὀψόμενον ὅ τι πράττει ἡ παῖς, μηδὲ ἀναπνεύσαντα πέπομφεν αὖθις εἰς τὸ Ἄργος ἐπισκεψόμενον τὴν Δανάην, εἶτ' ἐκεῖθεν εἰς Βοιωτίαν, φησίν, ἐλθὼν ἐν παρόδῳ τὴν Ἀντιόπην ἰδέ. καὶ ὅλως ἀπηγόρευκα ἤδη. εἰ γοῦν δυνατὸν ἦν, ἡδέως ἂν ἠξίωσα πεπρᾶσθαι, ὥσπερ οἱ ἐν γῇ κακῶς δουλεύοντες.

en el Hades, en tanto que a mí me toca inexorablemente hacer todas esas tareas en el mismo día. Y los hijos de Alcmena y de Sémele[12], pese a haber sido engendrados de mortales desdichados, disfrutan de lo lindo, sin cavilaciones de ningún tipo. Yo, en cambio, el hijo de Maya la Atlántida, estoy a su servicio. Incluso ahora mismo, recién llegado de Sidón de la casa de la hija de Cadmo a donde me envió para ver qué es lo que hace la niña[13], sin darme un respiro me ha enviado otra vez a Argos para visitar a Dánae: «y desde allí —me dice— te vas a Beocia y al paso échale un vistazo a Antíope»[14]. En resumen, que estoy hasta el gorro. Por lo menos, si pudiera, gustosamente pediría que me vendieran como los que en la tierra viven en desgraciada esclavitud.

Μαῖα Ἔα ταῦτα, ὦ τέκνον· χρὴ γὰρ πάντα ὑπηρετεῖν τῷ πατρὶ νεανίαν ὄντα. καὶ νῦν ὥσπερ ἐπέμφθης σόβει εἰς Ἄργος, εἶτα εἰς τὴν Βοιωτίαν, μὴ καὶ πληγὰς βραδύνων λάβῃς· ὀξύχολοι γὰρ οἱ ἐρῶντες.

MAYA. — Deja eso, hijo, que siendo joven como eres tienes que estar al servicio de tu padre. Y ahora, como te envió, sal pitando para Argos y después a Beocia, no sea que por racanear te lleves algún palo que otro, pues los enamorados se cabrean enseguida.

[12] Alusión a Heracles y Dioniso, respectivamente.
[13] Alusión probable a Europa más que a Ino.
[14] Una de las hijas del dios-río Asopo, prisionera de Lico que posteriormente consiguió escapar a su cautiverio.

5 (1)

PROMETEO Y ZEUS
Προμηθέως καὶ Διός

1 **Προμηθεύς** Λῦσόν με, ὦ Ζεῦ· δεινὰ γὰρ ἤδη πέπονθα.

Ζεύς Λύσω σε, φῄς, ὃν ἐχρῆν βαρυτέρας πέδας ἔχοντα καὶ τὸν Καύκασον ὅλον ὑπὲρ κεφαλῆς ἐπικείμενον ὑπὸ ἑκκαίδεκα γυπῶν μὴ μόνον κείρεσθαι τὸ ἧπαρ, ἀλλὰ καὶ τοὺς ὀφθαλμοὺς ἐξορύττεσθαι, ἀνθ' ὧν τοιαῦθ' ἡμῖν ζῷα τοὺς ἀνθρώπους ἔπλασας καὶ τὸ πῦρ ἔκλεψας καὶ γυναῖκας ἐδημιούργησας; ἃ μὲν γὰρ ἐμὲ ἐξηπάτησας ἐν τῇ νομῇ τῶν κρεῶν ὀστᾶ πιμελῇ κεκαλυμμένα παραθεὶς καὶ τὴν ἀμείνω τῶν μοιρῶν σεαυτῷ φυλάττων, τί χρὴ λέγειν;

Προμηθεύς Οὔκουν ἱκανὴν ἤδη τὴν δίκην ἐκτέτικα τοσοῦτον χρόνον τῷ Καυκάσῳ προσηλωμένος τὸν κάκιστα ὀρνέων ἀπολούμενον ἀετὸν τρέφων τῷ ἥπατι;

Ζεύς Οὐδὲ πολλοστημόριον τοῦτο ὧν σε δεῖ παθεῖν.

Προμηθεύς Καὶ μὴν οὐκ ἀμισθί με λύσεις, ἀλλά σοι μηνύσω τι, ὦ Ζεῦ, πάνυ ἀναγκαῖον.

2 **Ζεύς** Κατασοφίζῃ με, ὦ Προμηθεῦ.

Προμηθεύς Καὶ τί πλέον ἕξω; οὐ γὰρ ἀγνοήσεις αὖθις ἔνθα ὁ Καύκασός ἐστιν, οὐδὲ ἀπορήσεις δεσμῶν, ἤν τι τεχνάζων ἁλίσκωμαι.

1 PROMETEO. — Suéltame, Zeus, que ya he sufrido sufrimientos terribles.

ZEUS. — ¿Que te suelte dices, tú, que deberías tener cadenas[15] aún más pesadas y el Cáucaso entero sobre tu cabeza, con dieciséis buitres que no sólo te punzaran el hígado sino que te horadaran los ojos, por habernos modelado a unos seres vivos como los hombres, habernos robado el fuego y habernos fabricado a las mujeres? ¿Y el modo en que me engañaste en el reparto de las carnes, ofreciéndome huesos cubiertos de grasa mientras guardabas para ti las mejores tajadas?, ¿qué se puede decir al respecto?

PROMETEO. — ¿Y no basta ya con el castigo que he cumplido, estando tanto tiempo encadenado al Cáucaso, alimentando con mi hígado al águila, maldita ave donde las haya?

ZEUS. — Pues eso no es ni una parte insignificante de lo que tienes que sufrir.

PROMETEO. — Y además no me vas a soltar gratis pues te voy a desvelar, Zeus, algo muy importante[16].

2 ZEUS. — No intentes engañarme con palabrerías, Prometeo.

PROMETEO. — ¿Y qué sacaría yo en limpio con ello? No dejarás de saber otra vez dónde está el Cáucaso, ni te faltarán cadenas si me pillas maquinando alguna

[15] Todo lo relativo a la historia de Prometeo está mencionado por Luciano en los diálogos 23 y 71, en HEsíoDo, *Trabajos y Días* 47 y sigs., y *Teogonía* 510 y sigs. Esquilo, por su parte, tiene una tragedia íntegramente dedicada al tema.

[16] Las palabras de Prometeo no indican algo importante, sino algo de inexorable cumplimiento, literalmente, algo que se desvela líneas más abajo. Si Zeus se acuesta con Tetis, inexorablemente será derribado del poder; se trata, pues, de un hecho de suma importancia al que Zeus sólo puede escapar renunciando a sus pasiones por Tetis.

maniobra.

Ζεύς Εἰπὲ πρότερον ὅντινα μισθὸν ἀποτίσεις ἀναγκαῖον ἡμῖν ὄντα.

ZEUS. — Di antes qué recompensa me vas a ofrecer que sea importante para mí.

Προμηθεύς Ἢν εἴπω ἐφ' ὅ τι βαδίζεις νῦν, ἀξιόπιστος ἔσομαί σοι καὶ περὶ τῶν ὑπολοίπων μαντευόμενος;

PROMETEO. — ¿Y si te digo a dónde diriges tus pasos ahora, me haré acreedor a tu confianza incluso cuando te dé los restantes vaticinios?

Ζεύς Πῶς γὰρ οὔ;

ZEUS. — ¿Cómo no?

Προμηθεύς Παρὰ τὴν Θέτιν, συνεσόμενος αὐτῇ.

PROMETEO. __A casa de Tetis diriges tus pasos para acostarte con ella.

Ζεύς Τουτὶ μὲν ἔγνως· τί δ' οὖν τὸ ἐπὶ τούτῳ; δοκεῖς γὰρ ἀληθές τι ἐρεῖν.

ZEUS. — Eso lo acertaste. Pero, ¿qué pasará después? Parece que vas a decir algo.

Προμηθεύς Μηδέν, ὦ Ζεῦ, κοινωνήσῃς τῇ Νηρεΐδι· ἢν γὰρ αὕτη κυοφορήσῃ ἐκ σοῦ, τὸ τεχθὲν ἴσα ἐργάσεταί σε οἷα καὶ σὺ ἔδρασας

PROMETEO. — No se te ocurra hacer el amor con ella, pues si quedara embarazada de ti, el hijo que naciera te haría lo mismo que hiciste tú a...

Ζεύς Τοῦτο φῄς, ἐκπεσεῖσθαί με τῆς ἀρχῆς;

ZEUS. — ¿Estás diciendo que seré derribado del poder?

Προμηθεύς Μὴ γένοιτο, ὦ Ζεῦ. πλὴν τοιοῦτό γε ἡ μῖξις αὐτῆς ἀπειλεῖ.

PROMETEO. — Ojalá no sea así, pero la unión con ella comporta esta amenaza.

Ζεύς Χαιρέτω τοιγαροῦν ἡ Θέτις· σὲ δὲ ὁ Ἥφαιστος ἐπὶ τούτοις λυσάτω.

ZEUS. — Que se vaya a hacer puñetas entonces Tetis. Y a ti que por tu información te suelte Hefesto.

6 (2)

EROS Y ZEUS
Ἔρωτος καὶ Διός

1 **Ἔρως** Ἀλλ' εἰ καί τι ἥμαρτον, ὦ Ζεῦ, σύγγνωθί μοι· παιδίον γάρ εἰμι καὶ ἔτι ἄφρων.

1 EROS. — Pero si en algo fallé, Zeus, perdóname que soy un niño.

Ζεύς Σὺ παιδίον ὁ Ἔρως, ὃς ἀρχαιότερος εἶ πολὺ Ἰαπετοῦ; ἢ διότι μὴ πώγωνα μηδὲ πολιὰς ἔφυσας, διὰ ταῦτα καὶ βρέφος ἀξιοῖς νομίζεσθαι γέρων καὶ πανοῦργος ὤν;

ZEUS. — ¿Un niño tú, Eros, que eres más viejo que Jápeto[17]? ¿O porque no tienes barba ni canas estimas lógico pasar por un retoño tú, que eres un viejo y un canalla?

Ἔρως Τί δαί σε μέγα ἠδίκησα ὁ γέρων ὡς φῂς ἐγώ, διότι με καὶ πεδῆσαι διανοῇ;

EROS. — ¿Y qué gran ofensa ha cometido contra ti el viejo que dices que soy yo para que proyectes encadenarme?

Ζεύς Σκόπει, ὦ κατάρατε, εἰ μικρά, ὃς ἐμοὶ μὲν οὕτως ἐντρυφᾷς, ὥστε οὐδέν ἐστιν ὃ μὴ πεποίηκάς με, σάτυρον, ταῦρον, χρυσόν, κύκνον, ἀετόν· ἐμοῦ δὲ ὅλως οὐδεμίαν ἥντινα ἐρασθῆναι πεποίηκας, οὐδὲ συνῆκα ἡδὺς γυναικὶ διὰ σὲ γεγενημένος, ἀλλά με δεῖ μαγγανεύειν ἐπ' αὐτὰς καὶ κρύπτειν ἐμαυτόν· αἱ δὲ τὸν μὲν ταῦρον ἢ κύκνον φιλοῦσιν, ἐμὲ δὲ ἢν ἴδωσι, τεθνᾶσιν ὑπὸ τοῦ δέους.

ZEUS. — Mira a ver, maldito, si la ofensa es de poca monta, tú que te burlas de mí de tal modo que no hay nada ya en que no me hayas convertido: sátiro, toro, oro, cisne, águila[18]. Por el contrario, no has logrado que ninguna se enamorara de mí, ni acierto a comprender que haya yo resultado dulce a alguna mujer merced a tu intervención, sino que he tenido que utilizar mil trucos con ellas y ocultar mi personalidad. Ellas abrazan a un cisne, o un toro, pero si me vieran en persona se morirían de miedo.

2 **Ἔρως** Εἰκότως· οὐ γὰρ φέρουσιν, ὦ Ζεῦ, θνηταὶ οὖσαι τὴν σὴν πρόσοψιν.

2 EROS. — Naturalmente, Zeus, pues como son mortales no resisten tu mirada.

Ζεύς Πῶς οὖν τὸν Ἀπόλλω ὁ Βράγχος καὶ ὁ Ὑάκινθος φιλοῦσιν;

ZEUS. — ¿Y cómo es que a Apolo lo aman Branco y Jacinto?[19]

Ἔρως Ἀλλὰ ἡ Δάφνη κἀκεῖνον ἔφευγε καίτοι κομήτην καὶ ἀγένειον ὄντα. εἰ δ' ἐθέλεις ἐπέραστος εἶναι, μὴ ἐπίσειε τὴν αἰγίδα μηδὲ τὸν κεραυνὸν φέρε, ἀλλ' ὡς ἥδιστον ποίει σεαυτὸν, ἁπαλὸν ὀφθῆναι,

EROS. — Pero Dafne lo rechazó a él también y eso que tenía larga melena y rostro barbilampiño. Si quieres ser objeto de su amor no agites la égida ni lleves el rayo, antes bien, hazte lo más seductor posible,

---

[17] Jápeto era un titán; su antigüedad era, pues, probada. Sobre la antigüedad, aún mayor, de Eros, cf. HESÍODO, *Teogonía* 120, 134 y sigs.

[18] Alusión una vez más a las múltiples metamorfosis de Zeus para seducir a mortales: respectivamente, Antíope, Europa, Dánae, Leda y Ganimedes.

[19] Dos jóvenes de quienes se enamoró Apolo: Branco, era hijo de un héroe oriundo de Delfos y había fundado un oráculo en Dídima; por su parte, Jacinto quedó metamorfoseado en flor si hemos de hacer caso a la versión de OVIDIO, *Metamorfosis* X 162 y sigs.

καθειμένος βοστρύχους, τῇ μίτρᾳ τούτους ἀνειλημμένος, πορφυρίδα ἔχε, ὑποδέου χρυσίδας, ὑπ' αὐλῷ καὶ τυμπάνοις εὔρυθμα βαῖνε, καὶ ὄψει ὅτι πλείους ἀκολουθήσουσί σοι τῶν Διονύσου Μαινάδων.

blando a la vista, dejando caer tus rizos y recogiéndotelos con la diadema; ponte vestido de púrpura, cálzate sandalias de oro, camina cadencioso al son de la flauta y los tímpanos y verás cómo te acompañan más mujeres que las ménades de Dioniso.

Ζεύς Ἄπαγε· οὐκ ἂν δεξαίμην ἐπέραστος εἶναι τοιοῦτος γενόμενος.

ZEUS. — ¡Fuera! Si tengo que ponerme con esas pintas prefiero no ser un seductor.

Ἔρως Οὐκοῦν, ὦ Ζεῦ, μηδὲ ἐρᾶν θέλε· ῥᾴδιον γὰρ τοῦτό γε.

EROS. — Así las cosas, Zeus, no pretendas seducir, pues ésta es la forma más apropiada.

Ζεύς Οὔκ, ἀλλὰ ἐρᾶν μέν, ἀπραγμονέστερον δὲ αὐτῶν ἐπιτυγχάνειν· ἐπὶ τούτοις αὐτοῖς ἀφίημί σε.

ZEUS. — No; que yo quiero hacer el amor, pero por unos procedimientos menos complicados que esos. Con esas condiciones, te voy a soltar.

7 (3)

ZEUS Y HERMES

Διὸς καὶ Ἑρμοῦ

1 **Ζεύς** Τὴν τοῦ Ἰνάχου παῖδα τὴν καλὴν οἶσθα, ὦ Ἑρμῆ;

Ἑρμῆς Ναί· τὴν Ἰὼ λέγεις;

Ζεύς Οὐκέτι παῖς ἐκείνη ἐστίν, ἀλλὰ δάμαλις.

Ἑρμῆς Τεράστιον τοῦτο· τῷ τρόπῳ δ' ἐνηλλάγη;

Ζεύς Ζηλοτυπήσασα ἡ Ἥρα μετέβαλεν αὐτήν. ἀλλὰ καὶ καινὸν ἄλλο τι δεινὸν ἐπιμεμηχάνηται τῇ κακοδαίμονι· βουκόλον τινὰ πολυόμματον Ἄργον τοὔνομα ἐπέστησεν, ὃς νέμει τὴν δάμαλιν ἄϋπνος ὤν.

Ἑρμῆς Τί οὖν ἡμᾶς χρὴ ποιεῖν;

Ζεύς Καταπτάμενος ἐς τὴν Νεμέαν—ἐκεῖ δέ που ὁ Ἄργος βουκολεῖ—ἐκεῖνον ἀπόκτεινον, τὴν δὲ Ἰὼ διὰ τοῦ πελάγους ἐς τὴν Αἴγυπτον ἀγαγὼν Ἶσιν ποίησον· καὶ τὸ λοιπὸν ἔστω θεὸς τῶν ἐκεῖ καὶ τὸν Νεῖλον ἀναγέτω καὶ τοὺς ἀνέμους ἐπιπεμπέτω καὶ σῳζέτω τοὺς πλέοντας.

ZEUS. — ¿Conoces a la hija de Ínaco, Hermes, a esa tan guapa?

HERMES. — Sí, ¿te refieres a Ío?

ZEUS. — Ya no es una chica sino una ternera[20].

HERMES. — Eso es prodigioso. ¿De qué modo se produjo el cambio?

ZEUS. Hera, transida de celos, la transformó. Pero ahora acaba de maquinar contra la desdichada otra terrible idea; le ha puesto pegada a ella a un pastor —Argo se llama— que tiene cien ojos que apacienta a la ternera y está siempre despierto.

HERMES. — ¿Y qué conviene que hagamos nosotros?

ZEUS. — Vete volando a Nemea, que es allí donde Argo ejerce su oficio de pastor, y mátalo. Y a Ío, luego de llevarla a Egipto a través del mar, conviértela en Isis. Y que en adelante sea una divinidad para los habitantes del lugar y haga crecer el Nilo y les envíe vientos y salve a los navegantes.



[20] El tema de Zeus e lo, convertida en ternera debido a los celos de Hera, está tratado por APOLODORO, *Biblioteca* III 1, 3, y OVIDIO, *Metamorfosis* I 568 y sigs. También Esquilo la hace aparecer en *Prometeo Encadenado* 563 y sigs.

8 (5)

ZEUS Y HERA

Ἥρας καὶ Διός

1 **Ἥρα** Ἐξ οὗ τὸ μειράκιον τοῦτο. ὦ Ζεῦ, τὸ Φρύγιον ἀπὸ τῆς Ἴδης ἁρπάσας δεῦρο ἀνήγαγες, ἔλαττόν μοι τὸν νοῦν προσέχεις.

Ζεύς Καὶ τοῦτο γάρ, ὦ Ἥρα, ζηλοτυπεῖς ἤδη ἀφελὲς οὕτω καὶ ἀλυπότατον; ἐγὼ δὲ ᾤμην ταῖς γυναιξὶ μόναις χαλεπήν σε εἶναι, ὁπόσαι ἂν ὁμιλήσωσί μοι.

2 **Ἥρα** Οὐδ' ἐκεῖνα μὲν εὖ ποιεῖς οὐδὲ πρέποντα σεαυτῷ ὃς ἁπάντων θεῶν δεσπότης ὢν ἀπολιπὼν ἐμὲ τὴν νόμῳ γαμετὴν ἐπὶ τὴν γῆν κάτει μοιχεύσων, χρυσίον ἢ σάτυρος ἢ ταῦρος γενόμενος. πλὴν ἀλλ' ἐκεῖναι μέν σοι κἂν ἐν γῇ μένουσι, τὸ δὲ τουτὶ Ἰδαῖον παιδίον ἁρπάσας ἀνέπτης, ὦ γενναιότατε ἀετῶν, καὶ συνοικεῖ ἡμῖν ἐπὶ κεφαλήν μοι ἐπαχθέν, οἰνοχοοῦν δὴ τῷ λόγῳ. οὕτως ἠπόρεις οἰνοχόων, καὶ ἀπηγορεύκασιν ἄρα ἥ τε Ἥβη καὶ ὁ Ἥφαιστος διακονούμενοι;

σὺ δὲ καὶ τὴν κύλικα οὐκ ἂν ἄλλως λάβοις παρ' αὐτοῦ ἢ φιλήσας πρότερον αὐτὸν ἁπάντων ὁρώντων, καὶ τὸ φίλημά σοι ἥδιον τοῦ νέκταρος, καὶ διὰ τοῦτο οὐδὲ διψῶν πολλάκις αἰτεῖς πιεῖν· ὁτὲ δὲ καὶ ἀπογευσάμενος μόνον ἔδωκας ἐκείνῳ, καὶ πιόντος ἀπολαβὼν τὴν κύλικα ὅσον ὑπόλοιπον ἐν αὐτῇ πίνεις, ὅθεν καὶ ὁ παῖς ἔπιε καὶ ἔνθα προσήρμοσε τὰ χείλη, ἵνα καὶ πίνῃς ἅμα καὶ φιλῇς· πρῴην δὲ ὁ βασιλεὺς καὶ ἁπάντων πατὴρ ἀποθέμενος τὴν αἰγίδα καὶ τὸν κεραυνὸν ἐκάθησο ἀστραγαλίζων

1 HERA. — Desde que raptaste al mozalbete ese, Zeus, al frigio[21], y lo trajiste del Ida me haces menos caso.

ZEUS. — ¿También estás celosa de este muchacho tan sencillo y tan inocuo? Yo creía que sólo te enfadabas con las mujeres que tienen relaciones conmigo.

2 HERA. — Ni está bien lo que haces, ni es propio de ti que, siendo dueño y señor de todos los dioses, me abandones a mí, tu legítima esposa, y bajes a la tierra a cometer adulterios convertido en oro, en sátiro o en toro. Sólo que mientras que aquéllas se te quedan en tierra, el muchachito este del Ida al que raptaste y trajiste volando, tú la más noble de las águilas, vive aquí con nosotros, posado sobre mi cabeza, en teoría como «escanciador», ¿es que te faltan escanciadores? ¿O es que han renunciado a seguir sirviéndote Hebe[22] y Hefesto?

Tú nunca coges la copa de sus manos sin antes besarlo en presencia de todos, y su beso es para ti más dulce que el néctar y precisamente por ello, muchas veces aunque no tienes sed, pides de beber. Y en ocasiones te limitas a probar la bebida, le entregas la copa, y cuando bebe él, volviéndola tú a coger, bebes lo que queda en ella posando tus labios en el mismo sitio en que él bebió a fin de besarle a la vez que bebes. Ayer mismo como quien dice tú, el rey y padre de todos, dejando a un lado la égida y el rayo, te sentaste a jugar a los

[21] Alusión obvia al rapto de Ganimedes tratado con detalle en el diálogo 10 «Zeus y Ganimedes» *(infra).*

[22] Hebe, personificación de la Juventud, cuyas funciones además de la ya mencionada de «escanciadora» de los dioses antes de la llegada de Ganimedes eran preparar el baño a Ares y ayudar a Hera a uncir su carro. Contrasta vivamente con Hefesto, servidor más zafio y tosco, siempre manchado del hollín en la fragua.

μετ' αὐτοῦ ὁ πώγωνα τηλικοῦτον καθειμένος. ἅπαντα οὖν ὁρῶ ταῦτα, ὥστε μὴ οἴου λανθάνειν.

3 **Ζεύς** Καὶ τί δεινόν, ὦ Ἥρα, μειράκιον οὕτω καλὸν μεταξὺ πίνοντα καταφιλεῖν καὶ ἥδεσθαι ἀμφοῖν καὶ τῷ φιλήματι καὶ τῷ νέκταρι; ἢν γοῦν ἐπιτρέψω αὐτῷ κἂν ἅπαξ φιλῆσαί σε, οὐκέτι μέμψῃ μοι προτιμότερον τοῦ νέκταρος οἰομένῳ τὸ φίλημα εἶναι.

Ἥρα Παιδεραστῶν οὗτοι λόγοι. ἐγὼ δὲ μὴ οὕτω μανείην ὡς τὰ χείλη προσενεγκεῖν τῷ μαλθακῷ τούτῳ Φρυγὶ οὕτως ἐκτεθηλυμένῳ.

Ζεύς Μή μοι λοιδοροῦ, ὦ γενναιοτάτη, τοῖς παιδικοῖς· οὑτοσὶ γὰρ ὁ θηλυδρίας, ὁ βάρβαρος, ὁ μαλθακός, ἡδίων ἐμοὶ καὶ ποθεινότερος—οὐ βούλομαι δὲ εἰπεῖν, μή σε παροξύνω ἐπὶ πλέον.

4 **Ἥρα** Εἴθε καὶ γαμήσειας αὐτὸν ἐμοῦ γε οὕνεκα· μέμνησο γοῦν οἷά μοι διὰ τὸν οἰνοχόον τοῦτον ἐμπαροινεῖς.

Ζεύς Οὔκ, ἀλλὰ τὸν Ἥφαιστον ἔδει τὸν σὸν υἱὸν οἰνοχοεῖν ἡμῖν χωλεύοντα, ἐκ τῆς καμίνου ἥκοντα, ἔτι τῶν σπινθήρων ἀνάπλεων, ἄρτι τὴν πυράγραν ἀποτεθειμένον, καὶ ἀπ' ἐκείνων αὐτοῦ τῶν δακτύλων λαμβάνειν ἡμᾶς τὴν κύλικα καὶ ἐπισπασαμένους γε φιλῆσαι μεταξύ, ὃν οὐδ' ἂν ἡ μήτηρ σὺ ἡδέως φιλήσειας ὑπὸ τῆς ἀσβόλου κατῃθαλωμένον τὸ πρόσωπον. ἡδίω ταῦτα· οὐ γάρ; καὶ παρὰ πολὺ ὁ οἰνοχόος ἐκεῖνος ἔπρεπε τῷ συμποσίῳ τῶν θεῶν, ὁ Γανυμήδης δὲ καταπεμπτέος αὖθις ἐς τὴν Ἴδην· καθάριος γὰρ καὶ ῥοδοδάκτυλος καὶ ἐπισταμένως ὀρέγει τὸ ἔκπωμα, καὶ ὅ σε λυπεῖ μάλιστα, καὶ φιλεῖ ἥδιον τοῦ νέκταρος.

5 **Ἥρα** Νῦν καὶ χωλός, ὦ Ζεῦ, ὁ Ἥφαιστος καὶ οἱ δάκτυλοι αὐτοῦ ἀνάξιοι τῆς σῆς κύλικος καὶ ἀσβόλου μεστός ἐστι, καὶ ναυτιᾷς ὁρῶν αὐτόν, ἐξ ὅτου τὸν

dados con él, tú, un tío con toda la barba. Que lo veo todo yo, así que no creas que no me doy cuenta de las cosas.

3 ZEUS. — ¿Y qué hay de malo, Hera, en besar a un muchachito tan guapo en plena bebida y disfrutar de ambas cosas, del beso y del néctar? Si le diera yo permiso para que te besara una sola vez, ya no me echarías en cara el que piense que su beso es preferible al néctar.

HERA. — Esas palabras son propias de pederastas. Yo, que no me vuelva tan loca como para acercar mis labios al frigio ese tan blandengue y afeminado.

ZEUS. — No insultes, amiga mía, a mi muchachito. Ese afeminado, ese bárbaro, ese blandengue es para mí más placentero y excitante que... No quiero decírtelo para no cabrearte más aún.

4 HERA. — Por mí, ojalá te casaras con él. Haz memoria al menos de las ofensas que cual borracho me estás infiriendo por culpa del escanciador de marras.

ZEUS. — Vamos, que debería escanciarnos tu hijo Hefesto, el cojo, recién llegado de la fragua, sucio de resultas de las cenizas nada más dejar las tenazas. ¿Y qué?, ¿tenemos nosotros que coger la copa de semejantes dedos al tiempo que lo abrazamos y besarlo mientras? ¡Ni siquiera tú, que eres su madre, lo besarías con agrado con el rostro requemado de hollín! ¡Eso es, por lo visto, más agradable! Vamos, que el escanciador ese es, sin duda, más idóneo para el banquete de los dioses, y a Ganimedes, en cambio, hay que mandarlo otra vez al Ida; claro, que está limpio, tiene dedos sonrosados y alarga la copa como un profesional. Y lo que más te cabrea, sus besos son más dulces que el néctar.

5 HERA. — Ahora, por lo visto, Zeus, es cuando ese cojo Hefesto y sus dedos no son dignos de tu copa y está lleno de hollín y te desmayas sólo de verlo desde que el Ida nos

καλὸν κομήτην τοῦτον ἡ Ἴδη ἀνέθρεψε· πάλαι δὲ οὐχ ἑώρας ταῦτα, οὐδ' οἱ σπινθῆρες οὐδὲ ἡ κάμινος ἀπέτρεπόν σε μὴ οὐχὶ πίνειν παρ' αὐτοῦ.

crió a este mozo tan apuesto. Antes ni te fijabas en todo eso, y ni las cenizas ni la fragua te impedían tomar la bebida de manos suyas.

Ζεύς Λυπεῖς, ὦ Ἥρα, σεαυτήν, οὐδὲν ἄλλο, κἀμοὶ ἐπιτείνεις τὸν ἔρωτα ζηλοτυποῦσα· εἰ δὲ ἄχθῃ παρὰ παιδὸς ὡραίου δεχομένη τὸ ἔκπωμα, σοὶ μὲν ὁ υἱὸς οἰνοχοείτω, σὺ δέ, ὦ Γανύμηδες, ἐμοὶ μόνῳ ἀναδίδου τὴν κύλικα καὶ ἐφ' ἑκάστῃ δὶς φίλει με καὶ ὅτε πλήρη ὀρέγοις κᾆτα αὖθις ὁπότε παρ' ἐμοῦ ἀπολαμβάνοις. τί τοῦτο; δακρύεις; μὴ δέδιθι· οἰμώξεται γάρ, ἤν τίς σε λυπεῖν θέλῃ.

ZEUS. — Tú misma te atormentas, Hera, y con tus celos no consigues otra cosa que acrecentar mi pasión. Y si te cabrea recibir la bebida de manos de un mozo tan guapo, que te la escancie tu hijo. Y tú, Ganimedes, entrégame a mí solo la copa y por cada vez que me la acerques me das dos besos, uno cuando me la ofrezcas llena y otro cuando la vuelvas a recibir de mis manos. ¿Qué pasa? ¿Estás llorando? No tengas miedo, que si alguien pretende afligirte lo lamentará.

9 (6)

HERA Y ZEUS
Ἥρας καὶ Διός

1 **Ἥρα** Τὸν Ἰξίονα τοῦτον, ὦ Ζεῦ, ποῖόν τινα τὸν τρόπον ἡγῇ;

Ζεύς Ἄνθρωπον εἶναι χρηστόν, ὦ Ἥρα, καὶ συμποτικόν· οὐ γὰρ ἂν συνῆν ἡμῖν ἀνάξιος τοῦ συμποσίου ὤν.

Ἥρα Ἀλλὰ ἀνάξιός ἐστιν, ὑβριστής γε ὤν· ὥστε μηκέτι συνέστω.

Ζεύς Τί δαὶ ὕβρισε; χρὴ γάρ, οἶμαι, κἀμὲ εἰδέναι.

Ἥρα Τί γὰρ ἄλλο;—καίτοι αἰσχύνομαι εἰπεῖν αὐτό· τοιοῦτόν ἐστιν ὃ ἐτόλμησεν.

Ζεύς Καὶ μὴν διὰ τοῦτο καὶ μᾶλλον εἴποις ἄν, ὅσῳ καὶ αἰσχροῖς ἐπεχείρησε. μῶν δ' οὖν ἐπείρα τινά; συνίημι γὰρ ὁποῖόν τι τὸ αἰσχρόν, ὅπερ ἂν σὺ ὀκνήσειας εἰπεῖν.

2 **Ἥρα** Αὐτὴν ἐμέ, οὐκ ἄλλην τινά, ὦ Ζεῦ, πολὺν ἤδη χρόνον. καὶ τὸ μὲν πρῶτον ἠγνόουν τὸ πρᾶγμα, διότι ἀτενὲς ἀφεώρα εἰς ἐμέ· ὁ δὲ καὶ ἔστενε καὶ ὑπεδάκρυε, καὶ εἴ ποτε πιοῦσα παραδοίην τῷ Γανυμήδει τὸ ἔκπωμα, ὁ δὲ ᾔτει ἐν αὐτῷ ἐκείνῳ πιεῖν καὶ λαβὼν ἐφίλει μεταξὺ καὶ πρὸς τοὺς ὀφθαλμοὺς προσῆγε καὶ αὖθις ἀφεώρα ἐς ἐμέ· ταῦτα δὲ ἤδη συνίην ἐρωτικὰ ὄντα. καὶ ἐπὶ πολὺ μὲν ᾐδούμην λέγειν πρὸς σὲ καὶ ᾤμην παύσεσθαι τῆς μανίας τὸν ἄνθρωπον· ἐπεὶ δὲ καὶ λόγους ἐτόλμησέ

1 HERA. — Y el Ixión ese, ¿qué clase de hombre crees tú que es?

ZEUS. — Es una buena persona y un buen compañero de banquete, pues no estaría con nosotros si fuera indigno de compartir nuestra mesa.

HERA. — Pues es indigno en grado sumo porque es un insolente; así que, deje ya de sentarse en nuestra mesa.

ZEUS. — ¿Y qué clase de insolencia es la que cometió? Conviene, creo, que yo también lo sepa.

HERA. — ¿Pues cuál va a ser sino...? Vergüenza me da contártelo; tal fue su grado de osadía.

ZEUS. — Pues con más razón precisamente por ello deberías decírmelo, ya que ha intentado llevar a cabo alguna acción vergonzosa. ¿Acaso trataba de meter mano a alguna? Pues comprendo que es alguna desfachatez de este estilo la que tienes reparos en contarme.

2 HERA. — A mí en persona y no a otra cualquiera[23], Zeus, y desde hace ya mucho tiempo. Al principio no captaba yo el problema, por qué razón clavaba la mirada en mí; pero él suspiraba y lloriqueaba y siempre que yo le entregaba la copa a Ganimedes después de beber, él pedía beber en esa misma copa y cogiéndola la colmaba de besos, la acercaba a sus ojos y de nuevo volvía a dirigirme la mirada. Entonces comprendí que eran gestos amorosos. Y durante mucho tiempo me daba vergüenza contártelo y pensaba que al individuo en

[23] La historia de Ixión, encadenado a una rueda de fuego que giraba en los aires sin cesar como castigo por haber intentado seducir a Hera. Cf. al respecto PÍNDARO, *Píticas* 2, 21 y sigs.; DIODORO SICULO, IV 69, 3, y APOLODORO, *Epítome* 1, 20.

μοι προσενεγκεῖν, ἐγὼ μὲν ἀφεῖσα αὐτὸν ἔτι δακρύοντα καὶ προκυλινδούμενον, ἐπιφραξαμένη τὰ ὦτα, ὡς μηδὲ ἀκούσαιμι αὐτοῦ ὑβριστικὰ ἱκετεύοντος, ἀπῆλθον σοὶ φράσουσα· σὺ δὲ αὐτὸς ὅρα, ὅπως μέτει τὸν ἄνδρα.

cuestión se le pasaría la chifladura. Mas luego que ha tenido la osadía de declarárseme, tras dejarlo lloroso y retorciéndose por el suelo, tapándome los oídos para no escuchar proposiciones tan insolentes, he venido a contártelo. Tú verás cómo castigas a este individuo.

3 **Ζεύς** Εὖ γε ὁ κατάρατος· ἐπ' ἐμὲ αὐτὸν καὶ μέχρι τῶν Ἥρας γάμων; τοσοῦτον ἐμεθύσθη τοῦ νέκταρος; ἀλλ' ἡμεῖς τούτων αἴτιοι καὶ πέρα τοῦ μετρίου φιλάνθρωποι, οἵ γε καὶ συμπότας αὐτοὺς ἐποιησάμεθα. συγγνωστοὶ οὖν, εἰ πιόντες ὅμοια ἡμῖν καὶ ἰδόντες οὐράνια κάλλη καὶ οἷα οὔ ποτε εἶδον ἐπὶ γῆς, ἐπεθύμησαν ἀπολαῦσαι αὐτῶν ἔρωτι ἁλόντες· ὁ δ' ἔρως βίαιόν τί ἐστι καὶ οὐκ ἀνθρώπων μόνον ἄρχει, ἀλλὰ καὶ ἡμῶν αὐτῶν ἐνίοτε.

3 ZEUS. — ¡Vaya con el cabrón este! ¿Así que conspira contra mí y aspira a casarse con Hera? ¿Tan borracho lo ha puesto el néctar? Nosotros somos los culpables de ello, pues, llevados de una excesiva filantropía, los hemos hecho copartícipes de nuestra mesa. Claro, que habría que perdonarles si bebiendo lo mismo que nosotros y viendo bellezas celestiales cual jamás antes las vieron sobre la faz de la tierra, anhelan gozar de ellas, presos del amor. Que el amor es algo violento y no sólo se adueña de los hombres sino también en ocasiones de nosotros mismos.

Ἥρα Σοῦ μὲν καὶ πάνυ οὗτός γε δεσπότης ἐστὶ καὶ ἄγει σε καὶ φέρει τῆς ῥινός, φασίν, ἕλκων, καὶ σὺ ἕπῃ αὐτῷ ἔνθα ἂν ἡγῆταί σοι, καὶ ἀλλάττῃ ῥᾳδίως ἐς ὅ τι ἂν κελεύσῃ, καὶ ὅλως κτῆμα καὶ παιδιὰ τοῦ ἔρωτος σύ γε· καὶ νῦν τῷ Ἰξίονι οἶδα καθότι συγγνώμην ἀπονέμεις ἅτε καὶ αὐτὸς μοιχεύσας ποτὲ αὐτοῦ τὴν γυναῖκα, ἥ σοι τὸν Πειρίθουν ἔτεκεν.

HERA. — De ti, desde luego, es dueño y señor, te lleva y te arrastra como dice el refrán por la nariz y tú lo sigues allí donde te guíe y fácilmente te transformas en lo que él te ordene; en una palabra, que eres objeto y juguete del amor. Y ahora ya sé que vas a perdonar a Ixión porque tú también en cierta ocasión cometiste adulterio con su mujer[24], que te engendró a Pirítoo.

4 **Ζεύς** Ἔτι γὰρ σὺ μέμνησαι ἐκείνων, εἴ τι ἐγὼ ἔπαιξα εἰς γῆν κατελθών; ἀτὰρ οἶσθα ὅ μοι δοκεῖ περὶ τοῦ Ἰξίονος; κολάζειν μὲν μηδαμῶς αὐτὸν μηδὲ ἀπωθεῖν τοῦ συμποσίου· σκαιὸν γάρ· ἐπεὶ δὲ ἐρᾷ καὶ ὡς φῂς δακρύει καὶ ἀφόρητα πάσχει -

4 ZEUS. — ¿Aún te acuerdas de las diversiones con las que me entretenía al bajar a la tierra? Pero, ¿sabes qué opinión tengo de Ixión? En modo alguno castigarlo o dejarlo fuera del banquete, estaría feo. Pero puesto que está enamorado, según dices, y anda llorando y sufre lo insufrible...

Ἥρα Τί, ὦ Ζεῦ; δέδια γάρ, μή τι ὑβριστικὸν καὶ σὺ εἴπῃς.

HERA. — ¿Qué, Zeus? Temo que vayas a formular una propuesta insolente.

Ζεύς Οὐδαμῶς· ἀλλ' εἴδωλον ἐκ νεφέλης πλασάμενοι αὐτῇ σοι ὅμοιον, ἐπειδὰν λυθῇ τὸ συμπόσιον κἀκεῖνος

ZEUS. — En absoluto; si modelamos de una nube una imagen que se parezca a ti, una vez que el banquete haya acabado y él, como es

[24] Alusión a Día, esposa de Ixión; Pirítoo es presentado como tal en *Ilíada* XIV 318.

ἀγρυπνῇ, ὡς τὸ εἰκός, ὑπὸ τοῦ ἔρωτος, παρακατακλίνωμεν αὐτῷ φέροντες· οὕτω γὰρ ἂν παύσαιτο ἀνιώμενος οἰηθεὶς τετυχηκέναι τῆς ἐπιθυμίας.

Ἥρα Ἄπαγε, μὴ ὥρασιν ἵκοιτο τῶν ὑπὲρ αὐτὸν ἐπιθυμῶν.

Ζεύς Ὅμως ὑπόμεινον, ὦ Ἥρα. ἢ τί γὰρ ἂν καὶ πάθοις δεινὸν ἀπὸ τοῦ πλάσματος, εἰ νεφέλῃ ὁ Ἰξίων συνέσται;

5 **Ἥρα** Ἀλλὰ ἡ νεφέλη ἐγὼ εἶναι δόξω, καὶ τὸ αἰσχρὸν ἐπ' ἐμὲ ἥξει διὰ τὴν ὁμοιότητα.

Ζεύς Οὐδὲν τοῦτο φῄς· οὔτε γὰρ ἡ νεφέλη ποτὲ Ἥρα γένοιτ' ἂν οὔτε σὺ νεφέλη· ὁ δ' Ἰξίων μόνον ἐξαπατηθήσεται.

Ἥρα Ἀλλὰ οἱ πάντες ἄνθρωποι ἀπειρόκαλοί εἰσιν· αὐχήσει κατελθὼν ἴσως καὶ διηγήσεται ἅπασι λέγων συγγεγενῆσθαι τῇ Ἥρᾳ καὶ σύλλεκτρος εἶναι τῷ Διί, καί που τάχα ἐρᾶν με φήσειεν αὐτοῦ, οἱ δὲ πιστεύσουσιν οὐκ εἰδότες ὡς νεφέλῃ συνῆν.

Ζεύς Οὐκοῦν, ἤν τι τοιοῦτον εἴπῃ, ἐς τὸν ᾅδην ἐμπεσὼν τροχῷ ἄθλιος προσδεθεὶς συμπεριενεχθήσεται μετ' αὐτοῦ ἀεὶ καὶ πόνον ἄπαυστον ἕξει δίκην διδοὺς οὐ τοῦ ἔρωτος—οὐ γὰρ δεινὸν τοῦτό γε—ἀλλὰ τῆς μεγαλαυχίας.

lógico, no pueda conciliar el sueño por culpa del amor, se la llevaremos y la acostaremos con él, así tal vez dejará de afligirse cuando crea que ha alcanzado sus deseos.

HERA. — ¡Quita, quita! Que se vaya a hacer puñetas por codiciar lo que está por encima de él.

ZEUS. — Sin embargo cálmate, Hera, ¿qué daño podrías sufrir de una imagen, en caso que Ixión se una con una nube?

5 HERA. — Pero yo pareceré ser la nube y a causa de ese parecido cometeré ese acto ignominioso contra mí.

ZEUS. — No digas eso, que ni la nube podrá jamás ser Hera, ni tú la nube; Ixión será la única víctima del engaño.

HERA. — Pero los hombres todos son vulgares; tal vez cuando baje presumirá e irá explicando a todos que se ha acostado con Hera y que ha compartido el lecho de Zeus, e incluso podría decir que yo estaba enamorada de él, y ellos —los hombres— darán crédito a sus palabras pues no saben que se acostó con una nube.

ZEUS. — Bien, pues caso que cuente historias semejantes lo dejaré caer en el Hades y, encadenado, pobre de él, a una rueda, estará siempre dando vueltas con ella y tendrá un quehacer inacabable como castigo no de su pasión amorosa —que eso no es nada malo— sino de su arrogancia.

10 (4)

ZEUS Y GANIMEDES
Διὸς καὶ Γανυμήδους

1 **Ζεύς** Ἄγε, ὦ Γανύμηδες—ἥκομεν γὰρ ἔνθα ἐχρῆν - φίλησόν με ἤδη, ὅπως εἰδῇς οὐκέτι ῥάμφος ἀγκύλον ἔχοντα οὐδ' ὄνυχας ὀξεῖς οὐδὲ πτερά, οἷος ἐφαινόμην σοι πτηνὸς εἶναι δοκῶν.

Γανυμήδης Ἄνθρωπε, οὐκ ἀετὸς ἄρτι ἦσθα καὶ καταπτάμενος ἥρπασάς με ἀπὸ μέσου τοῦ ποιμνίου; πῶς οὖν τὰ μὲν πτερά σοι ἐκεῖνα ἐξεῤῥύηκε, σὺ δὲ ἄλλος ἤδη ἀναπέφηνας;

Ζεύς Ἀλλ' οὔτε ἄνθρωπον ὁρᾷς, ὦ μειράκιον, οὔτε ἀετὸν, ὁ δὲ πάντων βασιλεὺς τῶν θεῶν οὗτός εἰμι πρὸς τὸν καιρὸν ἀλλάξας ἐμαυτόν.

Γανυμήδης Τί φῄς; σὺ γὰρ εἶ ὁ Πὰν ἐκεῖνος; εἶτα πῶς σύριγγα οὐκ ἔχεις οὐδὲ κέρατα οὐδὲ λάσιος εἶ τὰ σκέλη;

Ζεύς Μόνον γὰρ ἐκεῖνον ἡγῇ θεόν;

Γανυμήδης Ναί· καὶ θύομέν γε αὐτῷ ἔνορχιν τράγον ἐπὶ τὸ σπήλαιον ἄγοντες, ἔνθα ἕστηκε· σὺ δὲ ἀνδραποδιστής τις εἶναί μοι δοκεῖς.

Ζεύς 2 Εἰπέ μοι, Διὸς δὲ οὐκ ἤκουσας ὄνομα οὐδὲ βωμὸν εἶδες ἐν τῷ Γαργάρῳ τοῦ ὕοντος καὶ βροντῶντος καὶ ἀστραπὰς ποιοῦντος;

Γανυμήδης Σύ, ὦ βέλτιστε, φῂς εἶναι, ὃς πρῴην κατέχεας ἡμῖν τὴν πολλὴν χάλαζαν, ὁ οἰκεῖν ὑπεράνω λεγόμενος, ὁ ποιῶν τὸν ψόφον, ᾧ τὸν κριὸν ὁ πατὴρ ἔθυσεν; εἶτα τί ἀδικήσαντά με ἀνήρπασας, ὦ βασιλεῦ τῶν θεῶν; τὰ δὲ πρόβατα ἴσως οἱ λύκοι διαρπάσονται ἤδη ἐρήμοις ἐπιπεσόντες.

1 ZEUS. — ¡Vamos, Ganimedes! Ya hemos llegado adonde debíamos llegar; bésame ya para que veas que no tengo ni pico encorvado ni uñas afiladas, ni alas tal como me di a ver a ti con aspecto de ave.

GANIMEDES. — ¡Hombre! ¿No eras hace un instante un águila que lanzándote sobre mí me raptaste de en medio del rebaño? ¿Cómo se te han caído las alas y has cobrado ya un aspecto distinto?

ZEUS. — Pues no estás viendo a un hombre, muchacho, ni a un águila; el rey de todos los dioses, ése soy yo que me transformé según pedía la ocasión.

GANIMEDES. — ¿Qué dices? ¿Así que tú eres el famoso Pan? ¿Entonces cómo es que no llevas siringe ni cuernos ni tienes las patas peludas?

ZEUS. — ¿Piensas, pues, que no hay más dios que él?

GANIMEDES. — Sí, y le sacrificamos un cabrón íntegro llevándolo hasta la gruta en donde está plantado[25]; pero tú me parece que eres un vulgar bandido.

2 ZEUS. — Dime; ¿no has oído nunca el nombre de Zeus ni viste en el Gárgaro un altar del que hace llover y produce relámpagos?

GANIMEDES. — ¿Así que dices, buen hombre, que eres el que ayer como quien dice nos envió una enorme tormenta, el que se dice que habita en las alturas, el que produce el ruido, a quien mi padre ofrendó en sacrificio un carnero? ¿Qué ofensa te he inferido para que me raptaras, rey de los dioses? Tal vez los lobos cayendo sobre mis rebaños abandonados los despedazarán.

[25] El texto griego utiliza esa expresión literal para indicar que tiene ahí su estatua.

Ζεύς Ἔτι γὰρ μέλει σοι τῶν προβάτων ἀθανάτῳ γεγενημένῳ καὶ ἐνταῦθα συνεσομένῳ μεθ' ἡμῶν;

ZEUS. — ¿Aún te preocupas de los rebaños ahora que has pasado a ser inmortal y que estarás aquí en nuestra compañía?

Γανυμήδης Τί λέγεις; οὐ γὰρ κατάξεις με ἤδη ἐς τὴν Ἴδην τήμερον;

GANIMEDES. — ¿Qué dices? ¿No me vas a llevar hoy al Ida?

Ζεύς Οὐδαμῶς· ἐπεὶ μάτην ἀετὸς ἂν εἴην ἀντὶ θεοῦ γεγενημένος.

ZEUS. — En modo alguno, pues me habría convertido de dios en águila para nada.

Γανυμήδης Οὐκοῦν ἐπιζητήσει με ὁ πατὴρ καὶ ἀγανακτήσει μὴ εὑρίσκων, καὶ πληγὰς ὕστερον λήψομαι καταλιπὼν τὸ ποίμνιον.

GANIMEDES. — ¿Entonces mi padre me buscará y se disgustará si no me encuentra y recibiré luego unos cuantos golpes por haber dejado el rebaño?

Ζεύς Ποῦ γὰρ ἐκεῖνος ὄψεταί σε;

ZEUS. — ¿Y dónde te verá?

Γανυμήδης Μηδαμῶς· ποθῶ γὰρ ἤδη αὐτόν. εἰ δὲ ἀπάξεις με, ὑπισχνοῦμαί σοι καὶ ἄλλον παρ' αὐτοῦ κριὸν τυθήσεσθαι λύτρα ὑπὲρ ἐμοῦ. ἔχομεν δὲ τὸν τριετῆ, τὸν μέγαν, ὃς ἡγεῖται πρὸς τὴν νομήν.

GANIMEDES. — En modo alguno; yo lo estoy echando ya de menos. Si me llevas allí te prometo ofrecerte en sacrificio otro carnero de su parte como pago por mi rescate; tenemos uno de tres años, grande, el que guía a los demás al pasto.

3 **Ζεύς** Ὡς ἀφελὴς ὁ παῖς ἐστι καὶ ἁπλοϊκὸς καὶ αὐτὸ δὴ τοῦτο παῖς ἔτι.— ἀλλ', ὦ Γανύμηδες, ἐκεῖνα μὲν πάντα χαίρειν ἔα καὶ ἐπιλάθου αὐτῶν, τοῦ ποιμνίου καὶ τῆς Ἴδης. σὺ δὲ—ἤδη γὰρ ἐπουράνιος εἶ—πολλὰ εὖ ποιήσεις ἐντεῦθεν καὶ τὸν πατέρα καὶ πατρίδα, καὶ ἀντὶ μὲν τυροῦ καὶ γάλακτος ἀμβροσίαν ἔδῃ καὶ νέκταρ πίῃ· τοῦτο μέντοι καὶ τοῖς ἄλλοις ἡμῖν αὐτὸς παρέξεις ἐγχέων· τὸ δὲ μέγιστον, οὐκέτι ἄνθρωπος, ἀλλ' ἀθάνατος γενήσῃ, καὶ ἀστέρα σου φαίνεσθαι ποιήσω κάλλιστον, καὶ ὅλως εὐδαίμων ἔσῃ.

3 ZEUS. — ¡Qué ingenuo y qué cándido es el muchacho! ¡Es aún muy niño! —Pero, Ganimedes, manda a paseo todo eso y olvídate del rebaño y del Ida. Tú eres ya un «celícola»—. Desde aquí podrás hacer favores a tu padre y a tu patria, y en lugar de queso y leche comerás ambrosía y beberás néctar, pues realmente nos lo ofrecerás al tiempo de escanciarlo a todos nosotros. Y lo más importante, no serás ya un hombre, sino un dios inmortal y yo haré que tu estrella resplandezca en grado sumo; en dos palabras: serás feliz.

Γανυμήδης Ἢν δὲ παίζειν ἐπιθυμήσω, τίς συμπαίξεταί μοι; ἐν γὰρ τῇ Ἴδῃ πολλοὶ ἡλικιῶται ἦμεν.

GANIMEDES. — Y si me apetece jugar, ¿quién compartirá conmigo los juegos? Pues en el Ida hay muchos de mi misma edad.

Ζεύς Ἔχεις κἀνταῦθα τὸν συμπαιξόμενόν σοι τουτονὶ τὸν Ἔρωτα καὶ ἀστραγάλους μάλα πολλούς. θάῤῥει μόνον καὶ φαιδρὸς ἴσθι καὶ μηδὲν ἐπιπόθει τῶν κάτω.

ZEUS. — También aquí tienes para jugar contigo a Eros y muchísimas tabas. Limítate a estar animoso y radiante y a no echar de menos en absoluto lo de allí abajo.

4 **Γανυμήδης** Τί δαὶ ὑμῖν χρήσιμος ἂν γενοίμην; ἢ ποιμαίνειν δεήσει κἀνταῦθα;

4 GANIMEDES. — ¿Y en qué faceta podría seros útil? ¿Es que tendré que apacentar rebaños aquí también?

Ζεύς Οὔκ, ἀλλ' οἰνοχοήσεις καὶ ἐπὶ τοῦ

ZEUS. — No, sino que escanciarás el vino,

νέκταρος τετάξῃ καὶ ἐπιμελήσῃ τοῦ συμποσίου.

estarás encargado del néctar y cuidarás del banquete.

Γανυμήδης Τοῦτο μὲν οὐ χαλεπόν· οἶδα γὰρ ὡς χρὴ ἐγχέαι τὸ γάλα καὶ ἀναδοῦναι τὸ κισσύβιον.

GANIMEDES. — Eso no es difícil, pues yo ya sé cómo hay que servir la leche y ofrecer el cuenco.

Ζεύς Ἰδού, πάλιν οὗτος γάλακτος μνημονεύει καὶ ἀνθρώποις διακονήσεσθαι οἴεται· ταυτὶ δ' ὁ οὐρανός ἐστι, καὶ πίνομεν, ὥσπερ ἔφην, τὸ νέκταρ.

ZEUS. — ¡Y dale! Otra vez se acuerda de la leche y cree que va a estar al servicio de mortales, que esto es el cielo y lo que bebemos, como te dije, es el néctar.

Γανυμήδης Ἥδιον, ὦ Ζεῦ, τοῦ γάλακτος;

GANIMEDES. — ¿Y está más rico que la leche?

Ζεύς Εἴσῃ μετ' ὀλίγον καὶ γευσάμενος οὐκέτι ποθήσεις τὸ γάλα.

ZEUS. — Enseguida lo sabrás, y cuando lo pruebes dejarás de echar de menos la leche.

Γανυμήδης Κοιμήσομαι δὲ ποῦ τῆς νυκτός; ἢ μετὰ τοῦ ἡλικιώτου Ἔρωτος;

GANIMEDES. — ¿Y dónde voy a acostarme por la noche? ¿Acaso con Eros, que es de mi edad?

Ζεύς Οὔκ, ἀλλὰ διὰ τοῦτό σε ἀνήρπασα, ὡς ἅμα καθεύδοιμεν.

ZEUS. — No, que precisamente por eso te rapté, para que durmiéramos juntos.

Γανυμήδης Μόνος γὰρ οὐκ ἂν δύναιο, ἀλλὰ ἥδιόν σοι καθεύδειν μετ' ἐμοῦ;

GANIMEDES. — ¿No podrías tu dormir solo, sino que te resulta más agradable hacerlo conmigo?

Ζεύς Ναί, μετά γε τοιούτου οἷος εἶ σύ, Γανύμηδες, οὕτω καλός.

ZEUS. — Sí, y con alguien como tú, Ganimedes, agradable sobremanera.

5 **Γανυμήδης** Τί γάρ σε πρὸς τὸν ὕπνον ὀνήσει τὸ κάλλος;

5 GANIMEDES. — ¿Y mi belleza, qué ventajas te va a reportar para conciliar el sueño?

Ζεύς Ἔχει τι θέλγητρον ἡδὺ καὶ μαλακώτερον ἐπάγει αὐτόν.

ZEUS. — Ejerce una suave fascinación y hace el sueño más placentero.

Γανυμήδης Καὶ μὴν ὅ γε πατὴρ ἤχθετό μοι συγκαθεύδοντι καὶ διηγεῖτο ἕωθεν, ὡς ἀφεῖλον αὐτοῦ τὸν ὕπνον στρεφόμενος καὶ λακτίζων καί τι φθεγγόμενος μεταξὺ ὁπότε καθεύδοιμι· ὥστε παρὰ τὴν μητέρα ἔπεμπέ με κοιμησόμενον ὡς τὰ πολλά. ὥρα δή σοι, εἰ διὰ τοῦτο, ὡς φής, ἀνήρπασάς με, καταθεῖναι αὖθις εἰς τὴν γῆν, ἢ πράγματα ἕξεις ἀγρυπνῶν· ἐνοχλήσω γάρ σε συνεχῶς στρεφόμενος.

GANIMEDES. — Pues mi padre se enfadaba conmigo cuando dormía con él y al alba me explicaba que no le había dejado dormir dando vueltas y patadas y berreando en sueños mientras dormía; así que me solía mandar a dormir con mi madre en muchas ocasiones. Si me has raptado para eso, es ya el momento de devolverme a la tierra o tendrás problemas de insomnio, pues te voy a hacer la puñeta sin parar de dar vueltas.

Ζεύς Τοῦτ' αὐτό μοι τὸ ἥδιστον ποιήσεις, εἰ ἀγρυπνήσαιμι μετὰ σοῦ φιλῶν πολλάκις καὶ περιπτύσσων.

ZEUS. — Precisamente en eso me proporcionarás el mayor placer, si me despierto contigo besándote y abrazándote sin parar.

Γανυμήδης Αὐτὸς ἂν εἰδείης· ἐγὼ δὲ


GANIMEDES. — Tú sabrás, pues yo estaré

κοιμήσομαι σοῦ καταφιλοῦντος.

Ζεύς Εἰσόμεθα τότε ὃ πρακτέον. νῦν δὲ ἄπαγε αὐτόν, ὦ Ἑρμῆ, καὶ πιόντα τῆς ἀθανασίας ἄγε οἰνοχοήσοντα ἡμῖν διδάξας πρότερον ὡς χρὴ ὀρέγειν τὸν σκύφον.

bien dormido mientras me besas.

ZEUS. — Ya veremos entonces lo que hay que hacer; Ahora, Hermes, llévatelo y, una vez que haya bebido la bebida de la inmortalidad, tráelo aquí para que nos escancie y enséñale previamente cómo hay que ofrecer la copa.



11 (7)

HEFESTO Y APOLO
Ἡφαίστου καὶ Ἀπόλλωνος

1 **Ἥφαιστος** Ἑώρακας, ὦ Ἄπολλον, τὸ τῆς Μαίας βρέφος τὸ ἄρτι τεχθέν, ὡς καλόν τέ ἐστι καὶ προσγελᾷ πᾶσι καὶ δηλοῖ ἤδη μέγα τι ἀγαθὸν ἀποβησόμενον;
Ἀπόλλων Ἐκεῖνο τὸ βρέφος, ὦ Ἥφαιστε, ἢ μέγα ἀγαθόν, ὃ τοῦ Ἰαπετοῦ πρεσβύτερόν ἐστιν ὅσον ἐπὶ τῇ πανουργίᾳ;
Ἥφαιστος Καὶ τί ἂν ἀδικῆσαι δύναιτο ἀρτίτοκον ὄν;
Ἀπόλλων Ἐρώτα τὸν Ποσειδῶνα, οὗ τὴν τρίαιναν ἔκλεψεν, ἢ τὸν Ἄρη· καὶ τούτου γὰρ ἐξείλκυσε λαθὸν ἐκ τοῦ κολεοῦ τὸ ξίφος, ἵνα μὴ ἐμαυτὸν λέγω, ὃν ἀφώπλισε τοῦ τόξου καὶ τῶν βελῶν.

1 HEFESTO. — ¿Has visto, Apolo, al retoño de Maya, al recién nacido, qué guapo es y cómo les sonríe a todos y da ya a ver que va a ser algo bueno?
APOLO. — ¿Que ese niño, Hefesto, va a ser algo bueno él, que en picardía es ya más viejo que Jápeto?
HEFESTO. — ¿Y qué daño puede hacer si es un niño recién nacido?
APOLO. — Pregúntale a Poseidón, .a quien robó el tridente, o a Ares; también a este último le quitó la espada de la vaina sin que se diera cuenta. Eso por no hablar de mí mismo, a quien ha quitado el arco y las flechas[26].

2 **Ἥφαιστος** Τὸ νεογνὸν ταῦτα, ὃ μόλις ἕστηκε, τὸ ἐν τοῖς σπαργάνοις;
Ἀπόλλων Εἴσῃ, ὦ Ἥφαιστε, ἤν σοι προσέλθῃ μόνον.
Ἥφαιστος Καὶ μὴν προσῆλθεν ἤδη.
Ἀπόλλων Τί οὖν; πάντα ἔχεις τὰ ἐργαλεῖα καὶ οὐδὲν ἀπόλωλεν αὐτῶν;
Ἥφαιστος Πάντα, ὦ Ἄπολλον.
Ἀπόλλων Ὅμως ἐπίσκεψαι ἀκριβῶς.
Ἥφαιστος Μὰ Δία, τὴν πυράγραν οὐχ ὁρῶ.
Ἀπόλλων Ἀλλ' ὄψει που ἐν τοῖς σπαργάνοις αὐτὴν τοῦ βρέφους.
Ἥφαιστος Οὕτως ὀξύχειρ ἐστὶ καθάπερ ἐν τῇ γαστρὶ ἐκμελετήσας τὴν κλεπτικήν;

2 HEFESTO. — ¿Eso ha hecho el bebé este que apenas se tiene de pie, el que está envuelto en pañales?
APOLO. — Ya lo verás, basta con que se te acerque.
HEFESTO. — Pues se me ha acercado ya.
APOLO. — ¿Y qué? ¿Tienes todas tus herramientas? ¿No se te ha perdido ninguna?
HEFESTO. — Todas, Apolo.
APOLO. — De todos modos mira bien.
HEFESTO. — ¡Por Zeus! No veo las tenazas.
APOLO. — Las verás, seguro, en los pañales del bebé.
HEFESTO. — ¿Tan buena mano tiene como si se hubiera estado entrenando para robar en el vientre de su madre?

3 **Ἀπόλλων** Οὐ γὰρ ἤκουσας αὐτοῦ καὶ λαλοῦντος ἤδη στωμύλα καὶ ἐπίτροχα· ὁ

3 APOLO. — ¡Y no lo has oído; con qué ingenio y con qué soltura parlotea! Incluso

[26] El tema de los hurtos precoces de Hermes puede seguirse entre otros en el Himno homérico a Hermes, y en el drama satírico de Sófocles *Ichneutai*.

δὲ καὶ διακονεῖσθαι ἡμῖν ἐθέλει. χθὲς δὲ προκαλεσάμενος τὸν Ἔρωτα κατεπάλαισεν εὐθὺς οὐκ οἶδ' ὅπως ὑφελὼν τὼ πόδε· εἶτα μεταξὺ ἐπαινούμενος τῆς Ἀφροδίτης μὲν τὸν κεστὸν ἔκλεψε προσπτυξαμένης αὐτὸν ἐπὶ τῇ νίκῃ, τοῦ Διὸς δὲ γελῶντος ἔτι τὸ σκῆπτρον· εἰ δὲ μὴ βαρύτερος ὁ κεραυνὸς ἦν καὶ πολὺ τὸ πῦρ εἶχε, κἀκεῖνον ἂν ὑφείλετο.

le gustaría ponerse a nuestro servicio. Ayer, desafiando a Eros, lo tiró al suelo en un voleo, no sé cómo, poniéndole la zancadilla con ambos pies; después, a la hora de celebrar su victoria, a Afrodita que lo abrazaba por ella, le quitó el cinturón y a Zeus, mientras se reía, el cetro. Y si el rayo no fuera tan pesado y no tuviera fuego, se lo habría quitado también.

Ἥφαιστος Ὑπέρδριμύν τινα τὸν παῖδα φῄς.

HEFESTO. — Me estás hablando de un niño espabilado por encima de lo normal.

Ἀπόλλων Οὐ μόνον, ἀλλ' ἤδη καὶ μουσικόν.

APOLO. — Pero no para ahí la cosa; también es músico.

Ἥφαιστος Τῷ τοῦτο τεκμαίρεσθαι ἔχεις;

HEFESTO. — ¿En qué te basas para afirmarlo?

4 **Ἀπόλλων** Χελώνην που νεκρὰν εὑρὼν ὄργανον ἀπ' αὐτῆς συνεπήξατο· πήχεις γὰρ ἐναρμόσας καὶ ζυγώσας, ἔπειτα κολλάβους ἐμπήξας καὶ μαγάδιον ὑποθεὶς καὶ ἐντεινάμενος ἑπτὰ χορδὰς μελῳδεῖ πάνυ γλαφυρόν, ὦ Ἥφαιστε, καὶ ἐναρμόνιον, ὡς κἀμὲ αὐτῷ φθονεῖν πάλαι κιθαρίζειν ἀσκοῦντα. ἔλεγε δὲ ἡ Μαῖα, ὡς μηδὲ μένοι τὰς νύκτας ἐν τῷ οὐρανῷ, ἀλλ' ὑπὸ περιεργίας ἄχρι τοῦ ᾅδου κατίοι, κλέψων τι κἀκεῖθεν δηλαδή. ὑπόπτερος δ' ἐστὶ καὶ ῥάβδον τινὰ πεποίηται θαυμασίαν τὴν δύναμιν, ᾗ ψυχαγωγεῖ καὶ κατάγει τοὺς νεκρούς.

4 APOLO. — Tras encontrar por ahí una tortuga muerta se fabricó con ella un instrumento; adaptándole brazos y una barra, ajustando después unas clavijas y poniendo debajo una especie de puente y tensando siete cuerdas, entonaba una melodía, Hefesto, afinada y armoniosa hasta el punto de suscitar mi envidia, yo, que llevo ya mucho tiempo tocando la cítara. Y decía Maya que ni siquiera permanecería por las noches en el cielo, sino que movido por una excesiva curiosidad bajaría hasta el Hades, sin duda para robar algo allí también. Además lleva alas en los pies y se ha fabricado una varita que tiene una fuerza prodigiosa con la que acompaña las almas y lleva a los muertos hasta abajo.

Ἥφαιστος Ἐγὼ ἐκείνην ἔδωκα αὐτῷ παίγνιον εἶναι.

HEFESTO. — Yo se la di para que jugara.

Ἀπόλλων Τοιγαροῦν ἀπέδωκέ σοι τὸν μισθόν, τὴν πυάγραν -

APOLO. — Pues buen pago te ha dado a cambio; las tenazas...

Ἥφαιστος Εὖ γε ὑπέμνησας· ὥστε βαδιοῦμαι ἀποληψόμενος αὐτήν, εἴ που ὡς φῄς εὑρεθείη ἐν τοῖς σπαργάνοις.

HEFESTO. — Has hecho bien en recordármelo; voy a darme un garbeo a ver si las recupero, si es que, como dices, a lo mejor se encuentran entre los pañales.

12 (9)

POSEIDÓN Y HERMES
Ποσειδῶνος καὶ Ἑρμοῦ

1 **Ποσειδῶν** Ἔστιν, ὦ Ἑρμῆ, νῦν ἐντυχεῖν τῷ Διί;

1 POSEIDÓN. — ¿Es posible, Hermes, tener una entrevista con Zeus?

Ἑρμῆς Οὐδαμῶς, ὦ Πόσειδον.

HERMES. — En absoluto, Poseidón.

Ποσειδῶν Ὅμως προσάγγειλον αὐτῷ.

POSEIDÓN. — De todos modos, anuncia mi visita.

Ἑρμῆς Μὴ ἐνόχλει, φημί· ἄκαιρον γάρ ἐστιν, ὥστε οὐκ ἂν ἴδοις αὐτὸν ἐν τῷ παρόντι.

HERMES. — Que no molestes, te estoy diciendo; es un momento inoportuno, así que ahora mismo no lo vas a poder ver.

Ποσειδῶν Μῶν τῇ Ἥρᾳ σύνεστιν;

POSEIDÓN. — ¿Es que está con Hera?

Ἑρμῆς Οὔκ, ἀλλ' ἑτεροῖόν τί ἐστιν.

HERMES. — No; se trata de un tema de otra índole.

Ποσειδῶν Συνίημι· ὁ Γανυμήδης ἔνδον.

POSEIDÓN. — Comprendo; es que está dentro Ganimedes.

Ἑρμῆς Οὐδὲ τοῦτο· ἀλλὰ μαλακῶς ἔχει αὐτός.

HERMES. — Tampoco es eso; es que está pachucho.

Ποσειδῶν Πόθεν, ὦ Ἑρμῆ; δεινὸν γὰρ τοῦτο φῄς.

POSEIDÓN. — ¿Y de dónde le viene el mal? Me extraña lo que dices.

Ἑρμῆς Αἰσχύνομαι εἰπεῖν, τοιοῦτόν ἐστιν.

HERMES. — Me da vergüenza decírtelo; tal es lo que le pasa.

Ποσειδῶν Ἀλλὰ οὐ χρὴ πρὸς ἐμὲ θεῖόν γε ὄντα.

POSEIDÓN. — Pues no debería darte, que para eso soy tu tío.

Ἑρμῆς Τέτοκεν ἀρτίως, ὦ Πόσειδον.

HERMES. — Acaba de dar a luz, Poseidón.

Ποσειδῶν Ἄπαγε, τέτοκεν ἐκεῖνος; ἐκ τίνος; οὐκοῦν ἐλελήθει ἡμᾶς ἀνδρόγυνος ὤν; ἀλλὰ οὐδὲ ἐπεσήμανεν ἡ γαστὴρ αὐτῷ ὄγκον τινά.

POSEIDÓN. — ¡Vamos, anda! ¿Que ha parido él? ¿Y de quién es el hijo? ¡A ver si es que no nos hemos dado cuenta de que era andrógino! Su vientre, desde luego, no delataba ninguna hinchazón.

Ἑρμῆς Εὖ λέγεις· οὐ γὰρ ἐκείνη εἶχε τὸ ἔμβρυον.

HERMES. — Llevas razón, es que no tenía ahí el feto.

Ποσειδῶν Οἶδα· ἐκ τῆς κεφαλῆς ἔτεκεν αὖθις ὥσπερ τὴν Ἀθηνᾶν· τοκάδα γὰρ τὴν κεφαλὴν ἔχει.

POSEIDÓN. — Comprendo, ha dado a luz otra vez por la cabeza como cuando parió a Atenea; pues sí que tiene una cabeza «paritoria».

Ἑρμῆς Οὔκ, ἀλλὰ ἐν τῷ μηρῷ ἐκύει τὸ τῆς Σεμέλης βρέφος.

HERMES. — Que no, que estaba concibiendo en el muslo el feto extraído de Sémele.

Ποσειδῶν Εὖ γε ὁ γενναῖος, ὡς ὅλος ἡμῖν κυοφορεῖ καὶ πανταχόθι τοῦ σώματος. ἀλλὰ τίς ἡ Σεμέλη ἐστί;

POSEIDÓN. — Cojonudo, el tipo este que se queda embarazado y da a luz por todas las partes de su cuerpo. Pero ¿quién es Sémele?

2 **Ἑρμῆς** Θηβαία, τῶν Κάδμου θυγατέρων μία. ταύτῃ συνελθὼν ἐγκύμονα ἐποίησεν.

2 HERMES. — Una tebana, la única de las hijas de Cadmo; anduvo con ella y la dejó embarazada.

Ποσειδῶν Εἶτα ἔτεκεν, ὦ Ἑρμῆ, ἀντ' ἐκείνης;

POSEIDÓN. — Y después, Hermes, ¿dio a luz él en vez de ella?

Ἑρμῆς Καὶ μάλα, εἰ καὶ παράδοξον εἶναί σοι δοκεῖ· τὴν μὲν γὰρ Σεμέλην ὑπελθοῦσα ἡ Ἥρα—οἶσθα ὡς ζηλότυπός ἐστι—πείθει αἰτῆσαι παρὰ τοῦ Διὸς μετὰ βροντῶν καὶ ἀστραπῶν ἥκειν παρ' αὐτήν· ὡς δὲ ἐπείσθη καὶ ἧκεν ἔχων καὶ τὸν κεραυνόν, ἀνεφλέγη ὁ ὄροφος, καὶ ἡ Σεμέλη μὲν διαφθείρεται ὑπὸ τοῦ πυρός, ἐμὲ δὲ κελεύει ἀνατεμόντα τὴν γαστέρα τῆς γυναικὸς ἀνακομίσαι ἀτελὲς ἔτι αὐτῷ τὸ ἔμβρυον ἑπτάμηνον· καὶ ἐπειδὴ ἐποίησα, διελὼν τὸν ἑαυτοῦ μηρὸν ἐντίθησιν, ὡς ἀποτελεσθείη ἐνταῦθα, καὶ νῦν τρίτῳ ἤδη μηνὶ ἐξέτεκεν αὐτὸ καὶ μαλακῶς ἀπὸ τῶν ὠδίνων ἔχει.

HERMES. — Pues sí, por muy absurdo que te parezca. Resulta que Hera —ya sabes que es muy celosa— va en secreto a casa de Sémele y la convence de que le pida a Zeus que se acercara a ella con truenos y relámpagos. Como Zeus se dejó convencer y acudió con el rayo, el tejado ardió en llamas y resulta que Sémele muere por acción del fuego. Entonces va y me ordena que corte y abra el vientre de la mujer y le saque el feto sietemesino[27]. Una vez que lo hice, rasgándose su propio muslo va y se lo coloca dentro para que allí se desarrolle hasta el final; y ahora ya, al tercer mes, lo ha parido y, de resultas de los dolores, está pachucho.

Ποσειδῶν Νῦν οὖν ποῦ τὸ βρέφος ἐστίν;

POSEIDÓN. — ¿Y dónde está ahora el bebé?

Ἑρμῆς Ἐς τὴν Νῦσαν ἀποκομίσας παρέδωκα ταῖς Νύμφαις ἀνατρέφειν Διόνυσον αὐτὸν ἐπονομασθέντα.

HERMES. — Luego de llevarlo a Nisa, lo entregué a las ninfas para que lo criaran, no sin antes darle el nombre de Dioniso.

Ποσειδῶν Οὐκοῦν ἀμφότερα τοῦ Διονύσου τούτου καὶ μήτηρ καὶ πατὴρ ὁ ἀδελφός ἐστιν;

POSEIDÓN. — ¿Resulta entonces que este es al mismo tiempo madre y padre de Dioniso?

Ἑρμῆς Ἔοικεν. ἄπειμι δ' οὖν ὕδωρ αὐτῷ πρὸς τὸ τραῦμα οἴσων καὶ τὰ ἄλλα ποιήσων ἃ νομίζεται ὥσπερ λεχοῖ.

HERMES. — Eso parece; yo me voy a traerle agua para la herida y poner en práctica los cuidados de ritual con un recién parido.

[27] El relato tiene oscilaciones de tiempos y aspectos que hemos querido mantener en nuestra traducción, sin emplear siempre el mismo tiempo y el mismo aspecto.

13 (8)

HEFESTO Y ZEUS
Ἡφαίστου καὶ Διός

1 **Ἥφαιστος** Τί με, ὦ Ζεῦ, δεῖ ποιεῖν; ἥκω γάρ, ὡς ἐκέλευσας, ἔχων τὸν πέλεκυν ὀξύτατον, εἰ καὶ λίθους δέοι μιᾷ πληγῇ διατεμεῖν.

Ζεύς Εὖ γε, ὦ Ἥφαιστε· ἀλλὰ δίελέ μου τὴν κεφαλὴν εἰς δύο κατενεγκών.

Ἥφαιστος Πειρᾷ μου, εἰ μέμηνα; πρόσταττε δ' οὖν τἀληθὲς ὅπερ θέλεις σοι γενέσθαι.

Ζεύς Τοῦτο αὐτό, διαιρεθῆναί μοι τὸ κρανίον· εἰ δὲ ἀπειθήσεις, οὐ νῦν πρῶτον ὀργιζομένου πειράσῃ μου. ἀλλὰ χρὴ καθικνεῖσθαι παντὶ τῷ θυμῷ μηδὲ μέλλειν· ἀπόλλυμαι γὰρ ὑπὸ τῶν ὠδίνων, αἵ μοι τὸν ἐγκέφαλον ἀναστρέφουσιν.

Ἥφαιστος Ὅρα, ὦ Ζεῦ, μὴ κακόν τι ποιήσωμεν· ὀξὺς γὰρ ὁ πέλεκύς ἐστι καὶ οὐκ ἀναιμωτὶ οὐδὲ κατὰ τὴν Εἰλήθυιαν μαιώσεταί σε.

Ζεύς Κατένεγκε μόνον, ὦ Ἥφαιστε, θαῤῥῶν· οἶδα γὰρ ἐγὼ τὸ σύμφερον.

Ἥφαιστος Κατοίσω· τί γὰρ χρὴ ποιεῖν σοῦ κελεύοντος; τί τοῦτο; κόρη ἔνοπλος; μέγα, ὦ Ζεῦ, κακὸν εἶχες ἐν τῇ κεφαλῇ· εἰκότως γοῦν ὀξύθυμος ἦσθα τηλικαύτην ὑπὸ τὴν μήνιγγα παρθένον ζωογονῶν καὶ ταῦτα ἔνοπλον· ἦ που στρατόπεδον, οὐ κεφαλὴν ἐλελήθεις ἔχων. ἡ δὲ πηδᾷ καὶ πυῤῥιχίζει καὶ τὴν ἀσπίδα τινάσσει καὶ τὸ δόρυ πάλλει καὶ ἐνθουσιᾷ καὶ τὸ μέγιστον, καλὴ πάνυ καὶ ἀκμαία

1 HEFESTO. ¿Qué debo hacer, Zeus? Pues, siguiendo tus órdenes, vengo con el hacha muy afilada, que si hiciera falta hasta podría partir por la mitad las piedras de un golpe.

ZEUS. — Bravo, Hefesto. Pero, da un golpe seco y párteme la cabeza en dos.

HEFESTO. — ¿Me intentas poner a prueba, a ver si me he vuelto loco? Ordéname de verdad lo que quieres que haga contigo.

ZEUS. — Pues eso justamente, partirme el cráneo por la mitad. Y si no me haces caso no será ahora la primera vez que experimentes en tus carnes mi cólera[28]. Y tienes que descargar el golpe con toda tu fuerza sin demorarte, que me muero de dolores de parto que me están haciendo polvo el cerebro.

HEFESTO. — Mira a ver, Zeus, no vayamos a hacer algún disparate; que el hacha está muy afilada y te va a ayudar a parir no sin sangre ni al modo de Ilitía[29].

ZEUS. — Tú limítate a descargar el golpe sin miedo, que yo ya sé lo que me conviene.

HEFESTO. — Muy a pesar mío lo voy a descargar. ¿Qué remedio me queda, si lo ordenas tú? ¿Qué es esto? ¿Una muchacha armada? Un gran dolor tenías en la cabeza. Así estabas tan cabreado, pues estabas dando vida bajo las meninges a semejante doncella, y encima armada. Sin darte cuenta tenía un campamento y no una cabeza. Y ella salta y brinca y agita el escudo y blande la lanza y está llena de furor divino. Y lo

[28] Alusión a la experiencia anterior sufrida por Hefesto que fue dejado caer desde el Olimpo por Zeus furioso de que tomara partido por Hera.

[29] Hija de Zeus y Hera y hermana de Hebe, es una especie de divinidad femenina que preside los partos.

γεγένηται δὴ ἐν βραχεῖ· γλαυκῶπις μέν, ἀλλὰ κοσμεῖ τοῦτο ἡ κόρυς. ὥστε, ὦ Ζεῦ, μαίωτρά μοι ἀπόδος ἐγγυήσας ἤδη αὐτήν.

más importante, en breve se ha puesto guapísima y en la flor de la vida. Tiene ojos verdes pero el casco los resalta y realza su belleza. Así que dámela en matrimonio como pago por mi asistencia al parto.

Ζεύς Ἀδύνατα αἰτεῖς, ὦ Ἥφαιστε· παρθένος γὰρ ἀεὶ ἐθελήσει μένειν. ἐγὼ δ' οὖν τό γε ἐπ' ἐμοὶ οὐδὲν ἀντιλέγω.

ZEUS. — Es imposible lo que me pides, Hefesto, pues ella va a querer permanecer siempre virgen; por mi parte no puedo decir nada en contra.

Ἥφαιστος Τοῦτ' ἐβουλόμην· ἐμοὶ μελήσει τὰ λοιπά, καὶ ἤδη συναρπάσω αὐτήν.

HEFESTO. — Eso es lo que yo quería; el resto corre de mi cuenta y voy a raptarla ya.

Ζεύς Εἴ σοι ῥᾴδιον, οὕτω ποίει· πλὴν οἶδα ὅτι ἀδυνάτων ἐρᾷς.

ZEUS. — Si te resulta fácil, hazlo, sólo que sé muy bien que tus amores son imposibles[30].

[30] Hefesto no desistió en su empeño. Intentó violar a Atenea, pero la espuma genesíaca del dios no llegó a entrar en ella; sacudida con unas lanas por la diosa, cayó al suelo del que brotó Erictonio según la leyenda.

14 (10)

HERMES Y HELIOS
Ἑρμοῦ καὶ Ἡλίου

1 **Ἑρμῆς** Ὦ Ἥλιε, μὴ ἐλάσῃς τήμερον, ὁ Ζεύς φησι, μηδὲ αὔριον μηδὲ εἰς τρίτην ἡμέραν, ἀλλὰ ἔνδον μένε, καὶ τὸ μεταξὺ μία τις ἔστω νὺξ μακρά· ὥστε λυέτωσαν μὲν αἱ Ὧραι αὖθις τοὺς ἵππους, σὺ δὲ σβέσον τὸ πῦρ καὶ ἀνάπαυε διὰ μακροῦ σεαυτόν.

Ἥλιος Καινὰ ταῦτα, ὦ Ἑρμῆ, καὶ ἀλλόκοτα ἥκεις παραγγέλλων. ἀλλὰ μὴ παραβαίνειν τι ἔδοξα ἐν τῷ δρόμῳ καὶ ἔξω ἐλάσαι τῶν ὅρων, κᾆτά μοι ἄχθεται καὶ τὴν νύκτα τριπλασίαν τῆς ἡμέρας ποιῆσαι διέγνωκεν;

Ἑρμῆς Οὐδὲν τοιοῦτον, οὐδὲ ἐς ἀεὶ τοῦτο ἔσται· δεῖται δέ τι νῦν αὐτὸς ἐπιμηκεστέραν γενέσθαι οἱ τὴν νύκτα.

Ἥλιος Ποῦ δὲ καὶ ἔστιν ἢ πόθεν ἐξεπέμφθης ταῦτα διαγγελῶν μοι;

Ἑρμῆς Ἐκ Βοιωτίας, ὦ Ἥλιε, παρὰ τῆς Ἀμφιτρύωνος, ᾗ σύνεστιν ἐρῶν αὐτῆς.

Ἥλιος Εἶτα οὐχ ἱκανὴ νὺξ μία;

Ἑρμῆς Οὐδαμῶς· τεχθῆναι γάρ τινα δεῖ ἐκ τῆς ὁμιλίας ταύτης μέγαν καὶ πολύμοχθον· τοῦτον οὖν ἐν μιᾷ νυκτὶ ἀποτελεσθῆναι ἀδύνατον.

2 **Ἥλιος** Ἀλλὰ τελεσιουργείτω μὲν ἀγαθῇ τύχῃ. ταῦτα δ' οὖν, ὦ Ἑρμῆ, οὐκ ἐγίνετο ἐπὶ τοῦ Κρόνου αὐτοὶ γὰρ ἡμεῖς ἐσμεν οὐδὲ ἀπόκοιτός ποτε ἐκεῖνος παρὰ τῆς Ῥέας ἦν οὐδὲ ἀπολιπὼν ἂν τὸν οὐρανὸν ἐν Θήβαις ἐκοιμᾶτο, ἀλλὰ ἡμέρα

1 HERMES. — Dice Zeus, Helios, que no conduzcas hoy el carro, ni mañana, ni al otro, sino que te quedes dentro; así el tiempo que transcurra será una larga noche. Conque, suelten las Horas de nuevo a los caballos, y tú apaga el fuego y tómate un descanso bien prolongado[31].

HELIOS. — Me das un recado nuevo y singular. ¿Es que piensa que me he apartado del camino en mi carrera y me he salido fuera de los límites y por ello está enfadado conmigo y ha dictaminado hacer la noche tres veces más larga que el día?

HERMES. — No es nada de eso, ni va a ser así para siempre. Es que en este momento necesita que la noche le resulte más larga.

HELIOS. — ¿Y dónde está? o ¿desde dónde te ha enviado con este recado para mí?

HERMES. — Desde Beocia, Helios, de casa de la esposa de Anfitrión con la que está acostado porque se ha enamorado de ella[32].

HELIOS. — Entonces, ¿es que no le basta con una sola noche?

HERMES. — En absoluto, pues de su unión debe ser engendrado un tipo enorme y sufrido en grado sumo, y llevar a buen término un ejemplar así es imposible en una sola noche.

2 HELIOS. — Pues ojalá se las apañe para llevarlo a buen término. Esas cosas no pasaban, Hermes, en tiempos de Crono —estamos solos, ¿verdad?—; él nunca abandonaba el lecho de Rea ni dejaba el cielo para acostarse en Tebas, sino que el

[31] El quehacer cotidiano del sol aparece cantado por primera vez con gran belleza en MIMMERMO DE COLOFÓN, 40D.

[32] Este tema, glosado en la nota 36 de los *Diálogos de los muertos,* da pie a Plauto para la creación de una comedia de ese título: *Anfitrión.*

μὲν ἦν ἡ ἡμέρα, νὺξ δὲ κατὰ μέτρον τὸ αὐτῆς ἀνάλογον ταῖς ὥραις, ξένον δὲ ἢ παρηλλαγμένον οὐδέν, οὐδ' ἂν ἐκοινώνησέ ποτε ἐκεῖνος θνητῇ γυναικί· νῦν δὲ δυστήνου γυναίου ἕνεκα χρὴ ἀνεστράφθαι τὰ πάντα καὶ ἀκαμπεστέρους μὲν γενέσθαι τοὺς ἵππους ὑπὸ τῆς ἀργίας, δύσπορον δὲ τὴν ὁδὸν ἀτριβῆ μένουσαν τριῶν ἑξῆς ἡμερῶν, τοὺς δὲ ἀνθρώπους ἀθλίους ἐν σκοτεινῷ διαβιοῦν. τοιαῦτα ἀπολαύσονται τῶν Διὸς ἐρώτων καὶ καθεδοῦνται περιμένοντες, ἔστ' ἂν ἐκεῖνος ἀποτελέσῃ τὸν ἀθλητήν, ὃν λέγεις, ὑπὸ μακρῷ τῷ ζόφῳ.

día era día y la noche adecuaba su duración a las estaciones, y no había nada extraño ni fuera de lo corriente, ni él se habría acostado nunca con una mujer mortal. Pero ahora, por causa de una desgraciada mujerzuela hay que poner todo patas arriba y mis caballos van a quedar faltos de entrenamiento por inactividad, mi camino va a hacerse intransitable por espacio de tres días completos; y los pobres hombres van a pasar la vida en la oscuridad. Ventajas de este tipo es lo que van a sacar en limpio de los amores de Zeus: esperar sentados envueltos en densa tiniebla a que él acabe de llevar a buen término al atleta en cuestión.

Ἑρμῆς Σιώπα, ὦ Ἥλιε, μή τι κακὸν ἀπολαύσῃς τῶν λόγων. ἐγὼ δὲ παρὰ τὴν Σελήνην ἀπελθὼν καὶ τὸν πνον ἀπαγγελῶ κἀκείνοις ἅπερ ὁ Ζεὺς ἐπέστειλε, τὴν μὲν σχολῇ προβαίνειν, τὸν δὲ πνον μὴ ἀνεῖναι τοὺς ἀνθρώπους, ὡς ἀγνοήσωσι μακρὰν οὕτω τὴν νύκτα γεγενημένην.

HERMES. — Calla, Helios, no vayan a acarrearte alguna desgracia tus palabras. Yo me marcho a casa de Selene y de Hipno[33] a transmitirles los recados de Zeus; a ella que avance su camino con cachaza; a él, Hipno, que no suelte a los hombres a fin de que no sepan que la noche se ha vuelto tan larga.

[33] La Luna y el Sueño respectivamente, ambos personificados.

15 (13)

ZEUS, ASCLEPIO Y HERACLES
Διὸς, Ἀσκληπιοῦ καὶ Ἡρακλέους

1 **Ζεύς** Παύσασθε, ὦ Ἀσκληπιὲ καὶ Ἡράκλεις, ἐρίζοντες πρὸς ἀλλήλους ὥσπερ ἄνθρωποι· ἀπρεπῆ γὰρ ταῦτα καὶ ἀλλότρια τοῦ συμποσίου τῶν θεῶν.

Ἡρακλῆς Ἀλλὰ θέλεις, ὦ Ζεῦ, τουτονὶ τὸν φαρμακέα προκατακλίνεσθαί μου;

Ἀσκληπιὸς Νὴ Δία· καὶ γὰρ ἀμείνων εἰμί.

Ἡρακλῆς Κατὰ τί, ὦ ἐμβρόντητε; ἢ ὅτι σε ὁ Ζεὺς ἐκεραύνωσεν ἃ μὴ θέμις ποιοῦντα, νῦν δὲ κατ' ἔλεον αὖθις ἀθανασίας μετείληφας;

Ἀσκληπιὸς Ἐπιλέλησαι γὰρ καὶ σύ, ὦ Ἡράκλεις, ἐν τῇ Οἴτῃ καταφλεγείς, ὅτι μοι ὀνειδίζεις τὸ πῦρ;

Ἡρακλῆς Οὔκουν ἴσα καὶ ὅμοια βεβίωται ἡμῖν, ὃς Διὸς μὲν υἱός εἰμι, τοσαῦτα δὲ πεπόνηκα ἐκκαθαίρων τὸν βίον, θηρία καταγωνιζόμενος καὶ ἀνθρώπους ὑβριστὰς τιμωρούμενος· σὺ δὲ ῥιζοτόμος εἶ καὶ ἀγύρτης, ἐν ἀθλίοις δὲ ἴσως ἀνθρώποις χρήσιμος ἐπιθέσει τῶν φαρμάκων, ἀνδρῶδες δὲ οὐδὲν ἐπιδεδειγμένος.

2 **Ἀσκληπιὸς** Οὐ λέγεις, ὅτι σου τὰ ἐγκαύματα ἰασάμην, ὅτε πρῴην ἀνῆλθες ἡμίφλεκτος ὑπ' ἀμφοῖν διεφθορὼς τὸ σῶμα, καὶ τοῦ χιτῶνος καὶ μετὰ τοῦτο τοῦ πυρός; ἐγὼ δὲ εἰ καὶ μηδὲν ἄλλο, οὔτε

1 ZEUS. — Dejad de pelearos, Asclepio y Heracles, como si fuerais hombres, pues es cosa fea y que no cuadra al banquete de los dioses.

HERACLES. — ¿Acaso pretendes, Zeus, que este fabricante de fármacos se siente en la mesa en mejor sitio que yo?

ASCLEPIO. — Sí, por Zeus, pues soy superior.

HERACLES. — ¿En qué, cabeza de chorlito? ¿O es porque Zeus te fulminó con el rayo[34] por hacer lo que era ilícito, y ahora has conseguido a cambio por compasión la inmortalidad?

ASCLEPIO. — Pareces haber olvidado, Heracles, ya que sacas a colación el fuego, que tú también ardiste en llamas en el Eta[35].

HERACLES. — En absoluto son iguales o parecidas nuestras vidas, pues yo soy hijo de Zeus; he pasado mil penalidades intentando purificar la existencia, enfrentándome a fieras y castigando a hombres insolentes. Tú en cambio no eres más que un vulgar cortador de raíces y un mamarracho. Y tal vez has resultado positivo a los enfermos con la aplicación de tus fármacos, pero nunca has dado señales de tu hombría.

2 ASCLEPIO. — ¿Por qué no mencionas que te curé las quemaduras cuando hace un par de días como quien dice subiste al cielo medio quemado con el cuerpo hecho trizas por la acción de la túnica y además

[34] La historia de Asclepio, fulminado por el rayo de Zeus celoso de los prodigios que era capaz de obrar, aparece en PÍNDARO, *Nemeas* 3, 54; DIODORO SICULO, IV *71, 1-3*, y APOLODORO, III 10, 3-4.

[35] Alusión a la muerte de Heracles en el monte Eta, donde se arrojó a una pira ardiendo, prendida por el pastor Peante (cf. APOLODORO, *Biblioteca* II 160).

ἐδούλευσα ὥσπερ σὺ οὔτε ἔξαινον ἔρια ἐν Λυδίᾳ πορφυρίδα ἐνδεδυκὼς καὶ παιόμενος ὑπὸ τῆς Ὀμφάλης χρυσῷ σανδάλῳ, ἀλλὰ οὐδὲ μελαγχολήσας ἀπέκτεινα τὰ τέκνα καὶ τὴν γυναῖκα.


de ello, por la acción del fuego? Y yo, a falta de otra cosa, ni trabajé como esclavo igual que tú, ni cardé lana en Lidia vestido con túnica de color púrpura y golpeado por la sandalia de oro de Ónfale[36], ni maté a mis hijos y a mi mujer en un acceso de cólera.

Ἡρακλῆς Εἰ μὴ παύσῃ λοιδορούμενός μοι, αὐτίκα μάλα εἴσῃ ὅτι οὐ πολύ σε ὀνήσει ἡ ἀθανασία, ἐπεὶ ἀράμενός σε ῥίψω ἐπὶ κεφαλὴν ἐκ τοῦ οὐρανοῦ, ὥστε μηδὲ τὸν Παιῶνα ἰάσασθαί σε τὸ κρανίον συντριβέντα.

HERACLES. — Si no dejas de insultarme, pronto sabrás de qué poco va a servirte la inmortalidad ya que luego de levantarte en vilo te voy a tirar de cabeza desde el cielo, de modo que ni Peón[37] te curará el cráneo hecho trizas.

Ζεύς Παύσασθε, φημί, καὶ μὴ ἐπιταράττετε ἡμῖν τὴν εὐωχίαν, ἢ ἀμφοτέρους ὑμᾶς ἀποπέμψομαι τοῦ συμποσίου. καίτοι εὔγνωμον, ὦ Ἡράκλεις, προκατακλίνεσθαί σου τὸν Ἀσκληπιὸν ἅτε καὶ πρότερον ἀποθανόντα.

ZEUS. — Basta ya de insultos, digo, y no perturbéis nuestro festín, o tendré que expulsaros a los dos del banquete. De todos modos, Heracles, es lógico que Asclepio ocupe su puesto en la mesa antes que tú, dado que también murió antes.



[36] Reina de Lidia en cuya corte trabajó Heracles como esclavo.

[37] La curación personificada en una divinidad que con el tiempo pasa a sincretizarse con Apolo y posteriormente con el propio Asclepio.

16 (14)

HERMES Y APOLO
Ἑρμοῦ καὶ Ἀπόλλωνος

1 **Ἑρμῆς** Τί κατηφὴς εἶ, ὦ Ἄπολλον;

1 HERMES. — ¿Por qué estás cabizbajo, Apolo?

Ἀπόλλων Ὅτι, ὦ Ἑρμῆ, δυστυχῶ ἐν τοῖς ἐρωτικοῖς.

APOLO. — Porque soy desgraciado en las lides del amor, Hermes.

Ἑρμῆς Ἄξιον μὲν λύπης τὸ τοιοῦτο· σὺ δὲ τί δυστυχεῖς; ἢ τὸ κατὰ τὴν Δάφνην σε λυπεῖ ἔτι;

HERMES. — Un asunto así es sin duda motivo de aflicción. ¿Y en qué consiste tu mala suerte? ¿O aún te apena el episodio de Dafne?

Ἀπόλλων Οὐδαμῶς· ἀλλὰ ἐρώμενον πενθῶ τὸν Λάκωνα τὸν Οἰβάλου.

APOLO. — En absoluto; sufro por el laconio hijo de Ébalo, a quien amo.

Ἑρμῆς Τέθνηκε γάρ, εἰπέ μοι, ὁ Ὑάκινθος;

HERMES. — Dime, ¿ha muerto Jacinto?

Ἀπόλλων Καὶ μάλα.

APOLO. — Ya lo creo que sí.

Ἑρμῆς Πρὸς τίνος, ὦ Ἄπολλον; ἢ τίς οὕτως ἀνέραστος ἦν ὡς ἀποκτεῖναι τὸ καλὸν ἐκεῖνο μειράκιον;

HERMES. — ¿Y a manos de quién ha muerto, Apolo? ¿O quién podría ser tan odioso como para matar a aquel apuesto muchacho?

Ἀπόλλων Αὐτοῦ ἐμοῦ τὸ ἔργον.

APOLO. — Fue obra mía.

Ἑρμῆς Οὐκοῦν ἐμάνης, ὦ Ἄπολλον;

HERMES. — ¿Te volviste loco, Apolo?

Ἀπόλλων Οὔκ, ἀλλὰ δυστύχημά τι ἀκούσιον ἐγένετο.

APOLO. — No, es que sucedió un desgraciado accidente.

Ἑρμῆς Πῶς; ἐθέλω γὰρ ἀκοῦσαι τὸν τρόπον.

HERMES. — ¿Cómo? Quiero oír cómo sucedió.

2 **Ἀπόλλων** Δισκεύειν ἐμάνθανε κἀγὼ συνεδίσκευον αὐτῷ, ὁ δὲ κάκιστα ἀνέμων ἀπολούμενος ὁ Ζέφυρος ἤρα μὲν ἐκ πολλοῦ καὶ αὐτός, ἀμελούμενος δὲ καὶ μὴ φέρων τὴν ὑπεροψίαν ταῦτα εἰργάσατο· ἐγὼ μὲν ἀνέῤῥιψα, ὥσπερ εἰώθειμεν, τὸν δίσκον εἰς τὸ ἄνω, ὁ δὲ ἀπὸ τοῦ Ταϋγέτου καταπνεύσας ἐπὶ κεφαλὴν τῷ παιδὶ ἐνέσεισε φέρων αὐτόν, ὥστε ἀπὸ τῆς πληγῆς αἷμα ῥυῆναι πολὺ καὶ τὸν παῖδα εὐθὺς ἀποθανεῖν. ἀλλὰ ἐγὼ τὸν μὲν Ζέφυρον αὐτίκα ἠμυνάμην κατατοξεύσας, φεύγοντι ἐπισπόμενος

2 APOLO. — Él estaba aprendiendo a lanzar el disco, y yo lo lanzaba con él[38]; Céfiro, el más devastador de los vientos, estaba enamorado también de él desde hacía mucho tiempo; al no ser correspondido y no poder soportar su desprecio llevó a cabo la acción siguiente: Yo, según solíamos hacer, solté el disco hacia arriba y él soplando con todas sus fuerzas desde el Taigeto impulsó el disco dirigiéndolo sobre la cabeza del joven de tal modo que como consecuencia del golpe la sangre brotó a borbotones y el chico murió

[38] Este bello episodio aparece recogido con exquisito esmero por OVIDIO, *Metamorfosis* X 162 y sigs.

ἄχρι τοῦ ὄρους, τῷ παιδὶ δὲ καὶ τὸν τάφον μὲν ἐχωσάμην ἐν Ἀμύκλαις, ὅπου ὁ δίσκος αὐτὸν κατέβαλε, καὶ ἀπὸ τοῦ αἵματος ἄνθος ἀναδοῦναι τὴν γῆν ἐποίησα ἥδιστον, ὦ Ἑρμῆ, καὶ εὐανθέστατον ἀνθῶν ἁπάντων, ἔτι καὶ γράμματα ἔχον ἐπαιάζοντα τῷ νεκρῷ. ἆρά σοι ἀλόγως λελυπῆσθαι δοκῶ;

instantáneamente. Yo intenté vengarme de Céfiro disparándole al punto con mis flechas persiguiéndolo en su huida hasta los montes. Al muchacho le he erigido un túmulo en Amiclas[39], donde lo derribó el disco, al tiempo que hice que de su sangre la tierra hiciera brotar una flor muy bonita, Hermes, la más tornasolada de todas las flores, con una inscripción con lamentos por el muerto. ¿Te parece, pues, que mi pena no tiene fundamento?

Ἑρμῆς Ναί, ὦ Ἄπολλον· ᾔδεις γὰρ θνητὸν πεποιημένος τὸν ἐρώμενον· ὥστε μὴ ἄχθου ἀποθανόντος.

HERMES. — No, Apolo[40], pues sabías que habías tomado por amante a un mortal; así que no te aflijas por su muerte.

[39] Aldea aledaña a Esparta.

[40] Ese «no» obviamente quiere decir que no tiene fundamento; el texto griego recoge «sí» que quiere decir «sí me parece que tu pena no tiene fundamento».

17 (15)

HERMES Y APOLO
Ἑρμοῦ καὶ Ἀπόλλωνος

1 **Ἑρμῆς** Τὸ δὲ καὶ χωλὸν αὐτὸν ὄντα καὶ τέχνην ἔχοντα βάναυσον, ὦ Ἄπολλον, τὰς καλλίστας γεγαμηκέναι, τὴν Ἀφροδίτην καὶ τὴν Χάριν.

Ἀπόλλων Εὐποτμία τις, ὦ Ἑρμῆ· πλὴν ἐκεῖνό γε θαυμάζω, τὸ ἀνέχεσθαι συνούσας αὐτῷ, καὶ μάλιστα ὅταν ὁρῶσιν ἱδρῶτι ῥεόμενον, εἰς τὴν κάμινον ἐπικεκυφότα, πολλὴν αἰθάλην ἐπὶ τοῦ προσώπου ἔχοντα· καὶ ὅμως τοιοῦτον ὄντα περιβάλλουσί τε αὐτὸν καὶ φιλοῦσι καὶ ξυγκαθεύδουσι.

Ἑρμῆς Τοῦτο καὶ αὐτὸς ἀγανακτῶ καὶ τῷ Ἡφαίστῳ φθονῶ· σὺ δὲ κόμα, ὦ Ἄπολλον, καὶ κιθάριζε καὶ μέγα ἐπὶ τῷ κάλλει φρόνει, κἀγὼ ἐπὶ τῇ εὐεξίᾳ, καὶ τῇ λύρᾳ· εἶτα, ἐπειδὰν κοιμᾶσθαι δέῃ, μόνοι καθευδήσομεν.

2 **Ἀπόλλων** Ἐγὼ μὲν καὶ ἄλλως ἀναφρόδιτός εἰμι εἰς τὰ ἐρωτικὰ καὶ δύο γοῦν, οὓς μάλιστα ὑπερηγάπησα, τὴν Δάφνην καὶ τὸν Ὑάκινθον· ἡ μὲν ἀποδιδράσκει με καὶ μισεῖ, ὥστε εἵλετο ξύλον γενέσθαι μᾶλλον ἢ ἐμοὶ ξυνεῖναι, ὁ δὲ ἀπώλετο ὑπὸ τοῦ δίσκου, καὶ νῦν ἀντ' ἐκείνων στεφάνους ἔχω.

Ἑρμῆς Ἐγὼ δὲ ἤδη ποτὲ τὴν Ἀφροδίτην ἀλλὰ οὐ χρὴ αὐχεῖν.

Ἀπόλλων Οἶδα, καὶ τὸν Ἑρμαφρόδιτον ἐκ σοῦ λέγεται τετοκέναι. πλὴν ἐκεῖνό μοι εἰπέ, εἴ τι οἶσθα, πῶς οὐ ζηλοτυπεῖ ἡ Ἀφροδίτη τὴν Χάριν ἢ ἡ Χάρις αὐτήν.

1 HERMES. — ¡Y que el tipo este, cojo y vulgar obrero de oficio, se haya casado, Apolo, con las más guapas, Afrodita y Cárite![41].

APOLO. — Buen destino tiene, Hermes. Hay una cosa que me llama la atención y es que aguanten estar con él, máxime cuando lo vean chorreando sudor, inclinado sobre la fragua y con la cara cubierta de hollín. Pues pese a todo lo abrazan, lo besan y se acuestan con él.

HERMES. — Eso es lo que me cabrea a mí y lo que le envidio a Hefesto. Tú, Apolo, peina tu cabellera, toca la cítara y presume de tu belleza, igual que presumo yo de mi vigor y de la lira, que cuando haya que acostarse dormiremos solos.

2 APOLO. — En lo que a mí respecta, estoy dejado de la mano de Afrodita en asuntos de amores, al menos en las dos personas a quienes quise hasta la exageración, a Dafne y a Jacinto; la primera intenta escapar de mí y me odia hasta el punto de preferir convertirse en tronco[42] antes que tener relaciones conmigo; el segundo pereció por un golpe del disco; y ahora en vez de a ellos, lo que tengo son coronas.

HERMES. — Yo ya en cierta ocasión a Afrodita... no hay que presumir.

APOLO. — Ya lo sé; se cuenta que de ti engendró a Hermafrodito. Pero dime una cosa, si lo sabes, ¿cómo es que Afrodita no tiene celos de Cárite o Cárite de ella?

[41] Alusión probablemente a Aglaya, la más jóven de las Gracias. Para mayor información, véase HOMERO, *Odisea* VIII 266 y sigs.; *Ilíada* XVIII 382 y sigs., y HESÍODO, *Teogonía* 945 y sigs.

[42] Se refiere obviamente —ya se indica a lo largo de estas páginas— a la metamorfosis de la ninfa en árbol de laurel.

3 **Ἑρμῆς** Ὅτι, ὦ Ἄπολλον, ἐκείνη μὲν αὐτῷ ἐν τῇ Λήμνῳ σύνεστιν, ἡ δὲ Ἀφροδίτη ἐν τῷ οὐρανῷ· ἄλλως τε περὶ τὸν Ἄρη ἔχει τὰ πολλὰ κἀκείνου ἐρᾷ, ὥστε ὀλίγον αὐτῇ τοῦ χαλκέως τούτου μέλει.

3 HERMES. — Porque ella está con él en Lemnos, y Afrodita en el cielo. Y además la mayor parte del tiempo le anda rondando a Ares, del que está también enamorada, así que poco le importa el herrero ese.

Ἀπόλλων Καὶ ταῦτα οἴει τὸν Ἥφαιστον εἰδέναι;

APOLO. — ¿Y crees que Hefesto lo sabe?

Ἑρμῆς Οἶδεν· ἀλλὰ τί ἂν δρᾶσαι δύναιτο γενναῖον ὁρῶν νεανίαν καὶ στρατιώτην αὐτόν; ὥστε τὴν ἡσυχίαν ἄγει· πλὴν ἀπειλεῖ γε δεσμά τινα ἐπιμηχανήσεσθαι αὐτοῖς καὶ συλλήψεσθαι σαγηνεύσας ἐπὶ τῆς εὐνῆς.

HERMES. — Lo sabe. Pero ¿qué podría hacer al ver que se trata de un joven de casta y militar por más señas? Así que se lo toma con calma. Excepto que amenaza con fabricar una especie de red y pillarlos juntos metidos en la cama.

Ἀπόλλωνος Οὐκ οἶδα· εὐξαίμην δ' ἂν αὐτὸς ὁ ξυλληφθησόμενος εἶναι.

APOLO. — No sé.[*] ¡Ya me gustaría ser yo a quien pillaran!

[*] En la traducción de la edición seguida la expresión es atribuida a Hermes, y falta además la frase marcada en rojo.

18 (16)

HERA Y LETO
Ἥρας καὶ Λητοῦς

1 **Ἥρα** Καλὰ μέν, ὦ Λητοῖ, καὶ τὰ τέκνα ἔτεκες τῷ Διί.

Λητώ Οὐ πᾶσαι γάρ, ὦ Ἥρα, τοιούτους τίκτειν δυνάμεθα, οἷος ὁ Ἥφαιστός ἐστιν.

Ἥρα Ἀλλ' οὖν οὗτος, εἰ καὶ χωλός, ἀλλ' ὅμως χρήσιμός γέ ἐστι τεχνίτης ὢν ἄριστος καὶ κατακεκόσμηκεν ἡμῖν τὸν οὐρανὸν καὶ τὴν Ἀφροδίτην γεγάμηκε καὶ σπουδάζεται πρὸς αὐτῆς, οἱ δὲ σοὶ παῖδες ἡ μὲν αὐτῶν ἀῤῥενικὴ πέρα τοῦ μετρίου καὶ ὄρειος, καὶ τὸ τελευταῖον ἐς τὴν Σκυθίαν ἀπελθοῦσα πάντες ἴσασιν οἷα ἐσθίει ξενοκτονοῦσα καὶ μιμουμένη τοὺς Σκύθας αὐτοὺς ἀνθρωποφάγους ὄντας· ὁ δὲ Ἀπόλλων προσποιεῖται μὲν πάντα εἰδέναι καὶ τοξεύειν καὶ κιθαρίζειν καὶ ἰατρὸς εἶναι καὶ μαντεύεσθαι καὶ καταστησάμενος ἐργαστήρια τῆς μαντικῆς τὸ μὲν ἐν Δελφοῖς, τὸ δὲ ἐν Κλάρῳ καὶ ἐν Κολοφῶνι καὶ ἐν Διδύμοις ἐξαπατᾷ τοὺς χρωμένους αὐτῷ λοξὰ καὶ ἐπαμφοτερίζοντα πρὸς ἑκάτερον τῆς ἐρωτήσεως ἀποκρινόμενος, πρὸς τὸ ἀκίνδυνον εἶναι τὸ σφάλμα. καὶ πλουτεῖ μὲν ἀπὸ τοῦ τοιούτου· πολλοὶ γὰρ οἱ ἀνόητοι καὶ παρέχοντες αὑτοὺς καταγοητεύεσθαι· πλὴν οὐκ ἀγνοεῖταί γε ὑπὸ τῶν ξυνετωτέρων τὰ πολλὰ τερατευόμενος· αὐτὸς γοῦν ὁ μάντις ἠγνόει μὲν ὅτι φονεύσει τὸν ἐρώμενον τῷ δίσκῳ, οὐ προεμαντεύετο δὲ ὡς φεύξεται αὐτὸν ἡ Δάφνη, καὶ ταῦτα οὕτω καλὸν

1 HERA. — ¡Muy guapos son también, Leto, los hijos que le diste a Zeus!

LETO. — No todos podemos engendrarlos tal cual es Hefesto[43].

HERA. — Pues éste, aunque cojo, es un artista excelente, sumamente útil, y nos ha adornado el cielo, se ha casado con Afrodita y es correspondido por ella. Tus hijos en cambio, la una es hombruna por encima de los límites de lo razonable, y montaraz, y para colmo, al marchar hacia Escitia todos saben qué clase de comida comía, matando a los extranjeros e imitando a los mismísimos escitas que son antropófagos[44]. Apolo, a su vez, pasa por saberlo todo, disparar el arco, tocar la cítara, practicar la medicina y ejercer el arte adivinatoria, e instalando tenderetes de arte adivinatoria[45], uno en Delfos, otro en Claros, y en Colofón y en Dídima anda engañando a quienes le consultan con respuestas retorcidas y ambiguas a cada pregunta, con lo que no hay riesgo de fallo; y de resultas de esa actividad se está enriqueciendo. Que son muchos los estúpidos que se prestan a que los timen. Ahora que por parte de los más inteligentes no se ignora que en la mayoría de los casos se trata de puras fantasías. Así él, el adivino, no sabía que iba a dar muerte a su amado con el disco, ni fue capaz de profetizar que Dafne lo rehuiría, y todo eso siendo como es guapo y de hermosa

[43] El inicio del diálogo debe leerse en clave de ironía; se echan en cara Leto y Hera la supuesta fealdad de sus hijos: Ártemis es varonil y Apolo engañoso. Por su parte, Hefesto es un tipo sucio y cojo.

[44] Refuerza este dato la proverbial tosquedad de los escitas a los que ya nos hemos referido en anteriores trabajos, cf. volumen 113 de esta colección, pág. 272 y sigs.

[45] Nótese que el texto no dice en modo alguno santuarios o recintos religiosos, sino literalmente talleres, *ergasteria,* de arte adivinatoria, *mantikes,* en tono claramente despectivo.

καὶ κομήτην ὄντα· ὥστε οὐχ ὁρῶ καθότι καλλιτεκνοτέρα τῆς Νιόβης ἔδοξας.

cabellera. Así que no veo por qué motivo opinas que tus hijos son más guapos que los de Níobe.

2 **Λητώ** Ταῦτα μέντοι τὰ τέκνα, ἡ ξενοκτόνος καὶ ὁ ψευδόμαντις, οἶδα, ὅπως λυπεῖ σε ὁρώμενα ἐν τοῖς θεοῖς, καὶ μάλιστα ὁπόταν ἡ μὲν ἐπαινῆται ἐς τὸ κάλλος, ὁ δὲ κιθαρίζῃ ἐν τῷ συμποσίῳ θαυμαζόμενος ὑφ' ἁπάντων.

2 LETO. — Pues esos hijos míos, la que mata extranjeros y el falso adivino, ya sé yo cómo te molesta verlos entre los dioses, en especial cuando la una recibe elogios por su belleza en tanto que él toca la cítara en el banquete en medio de la admiración general.

Ἥρα Ἐγέλασα, ὦ Λητοῖ· ἐκεῖνος θαυμαστός, ὃν ὁ Μαρσύας, εἰ τὰ δίκαια αἱ Μοῦσαι δικάσαι ἤθελον, ἀπέδειρεν ἂν αὐτὸς κρατήσας τῇ μουσικῇ· νῦν δὲ κατασοφισθεὶς ἄθλιος ἀπόλωλεν ἀδίκως ἁλούς· ἡ δὲ καλή σου παρθένος οὕτω καλή ἐστιν, ὥστε ἐπεὶ ἔμαθεν ὀφθεῖσα ὑπὸ τοῦ Ἀκταίωνος, φοβηθεῖσα μὴ ὁ νεανίσκος ἐξαγορεύσῃ τὸ αἶσχος αὐτῆς, ἐπαφῆκεν αὐτῷ τοὺς κύνας· ἐῶ γὰρ λέγειν ὅτι οὐδὲ τὰς τεκούσας ἐμαιοῦτο παρθένος γε αὐτὴ οὖσα.

HERA. — ¡Que me muero de risa, Leto! Objeto de admiración general Apolo, aquel a quien Marsias, si las Musas hubieran querido administrar recta justicia, habría despellejado personalmente luego de derrotarlo en el certamen musical. Y en cambio el desdichado Marsias víctima de palabrerías engañosas, ha perecido injustamente apresado[46]. Y tu guapa doncella, sí, es tan guapa que en cuanto supo que era vista por Acteón fue y le soltó los perros[47] temerosa de que el jovencito pregonara a los cuatro vientos su fealdad. Y paso por alto decir que siendo ella virgen difícilmente podría ayudar en el parto a las mujeres embarazadas[48].

Λητώ Μέγα, ὦ Ἥρα, φρονεῖς, ὅτι ξύνει τῷ Διὶ καὶ συμβασιλεύεις αὐτῷ, καὶ διὰ τοῦτο ὑβρίζεις ἀδεῶς· πλὴν ἀλλ' ὄψομαί σε μετ' ὀλίγον αὖθις δακρύουσαν, ὁπόταν σε καταλιπὼν ἐς τὴν γῆν κατίῃ ταῦρος ἢ κύκνος γενόμενος.

LETO. — Mucho presumes, Hera, porque convives con Zeus y compartes con él el reino, y por ello me insultas con una arrogancia inconveniente. Ahora que dentro de poco te voy a ver llorando otra vez cuando él te abandone y baje a la tierra convertido en toro o cisne.

[46] El episodio del desollamiento del sátiro Marsias luego de su fallida rivalidad en certamen musical con Apolo puede leerse en HIGINO, *Fábulas* 165, y APOLODORO, 1-4.2; un hermoso relieve de época helenística con el tema puede contemplarse en el Museo Nacional de Atenas.

[47] Acteón, que había sido criado por el centauro Quirón, había visto bañarse desnuda a Ártemis, que en venganza lo había transformado en ciervo y había lanzado contra él a sus perros hasta darle muerte.

[48] Evidentemente es una de las facetas más curiosas que presenta la contradictoria personalidad de Ártemis.

19 (11)

AFRODITA Y SELENE
Ἀφροδίτης καὶ Σελήνης

1 **Ἀφροδίτη** Τί ταῦτα, ὦ Σελήνη, φασὶ ποιεῖν σε; ὁπόταν κατὰ τὴν Καρίαν γένῃ, ἱστάναι μέν σε τὸ ζεῦγος ἀφορῶσαν ἐς τὸν Ἐνδυμίωνα καθεύδοντα ὑπαίθριον ἅτε κυνηγέτην ὄντα, ἐνίοτε δὲ καὶ καταβαίνειν παρ' αὐτὸν ἐκ μέσης τῆς ὁδοῦ;

Σελήνη Ἐρώτα, ὦ Ἀφροδίτη, τὸν σὸν υἱόν, ὅς μοι τούτων αἴτιος.

Ἀφροδίτη Ἔα· ἐκεῖνος ὑβριστής ἐστιν· ἐμὲ γοῦν αὐτὴν τὴν μητέρα οἷα δέδρακεν, ἄρτι μὲν ἐς τὴν Ἴδην κατάγων Ἀγχίσου ἕνεκα τοῦ Ἰλιέως, ἄρτι δὲ ἐς τὸν Λίβανον ἐπὶ τὸ Ἀσσύριον ἐκεῖνο μειράκιον, ὃ καὶ τῇ Φερσεφάττῃ ἐπέραστον ποιήσας ἐξ ἡμισείας ἀφείλετό με τὸν ἐρώμενον· ὥστε πολλάκις ἠπείλησα, εἰ μὴ παύσεται τοιαῦτα ποιῶν, κλάσειν μὲν αὐτοῦ τὰ τόξα καὶ τὴν φαρέτραν, περιαιρήσειν δὲ καὶ τὰ πτερά· ἤδη δὲ καὶ πληγὰς αὐτῷ ἐνέτεινα ἐς τὰς πυγὰς τῷ σανδάλῳ· ὁ δὲ οὐκ οἶδ' ὅπως τὸ παραυτίκα δεδιὼς καὶ ἱκετεύων μετ' ὀλίγον ἐπιλέλησται ἁπάντων. 2 ἀτὰρ εἰπέ μοι, καλὸς ὁ Ἐνδυμίων ἐστίν; ἀπαραμύθητον γὰρ οὕτως τὸ δεινόν.

Σελήνη Ἐμοὶ μὲν καὶ πάνυ καλός, ὦ Ἀφροδίτη, δοκεῖ, καὶ μάλιστα ὅταν ὑποβαλλόμενος ἐπὶ τῆς πέτρας τὴν χλαμύδα καθεύδῃ τῇ λαιᾷ μὲν ἔχων τὰ ἀκόντια ἤδη ἐκ τῆς χειρὸς ὑποῤῥέοντα, ἡ δεξιὰ δὲ περὶ τὴν κεφαλὴν ἐς τὸ ἄνω ἐπικεκλασμένη ἐπιπρέπῃ τῷ προσώπῳ περικειμένη, ὁ δὲ ὑπὸ τοῦ ὕπνου λελυμένος ἀναπνέῃ τὸ ἀμβρόσιον ἐκεῖνο

1 AFRODITA. — ¿Qué es eso, Selene, que dicen que haces? ¿Que cada vez que bajas a Caria detienes el carro y te quedas plantada dirigiendo tu mirada a Endimión que duerme al raso, como pastor que es, y que en alguna ocasión bajas a su lado desde la mitad del camino?

SELENE. — Pregunta, Afrodita, a tu hijo, que es para mí el culpable de todo eso.

AFRODITA. — ¡Quita!, que es un insolente. ¡Hacerme semejantes faenas a mí, su madre! Hace poco me llevó hasta el Ida por causa de Anquises el troyano; hace poco al Líbano, junto al muchachito asirio[49], al que ha hecho también objeto de amor para Perséfone, quitándome la mitad de mi amado. Así que en muchas ocasiones le he amenazado con que si no deja de hacer faenas de este estilo, le voy a romper las flechas y el carcaj y a despojarle de las alas; ya he tenido que darle unos azotes en el culo con la sandalia. Pero él —no me lo explico— al principio está temeroso y suplicante, pero al cabo de un rato se olvida de todo. 2 Pero dime ¿es guapo Endimión? Porque en este caso tu desgracia resulta inexorable.

SELENE. — A mí me parece guapísimo, Afrodita, sobre todo cuando extendiendo sobre la piedra la clámide se acuesta sosteniendo en la izquierda los dardos que se le escapan de la mano, en tanto que su diestra ligeramente arqueada en torno a la cabeza, se adapta al rostro; él entonces desmadejado por el sueño, exhala un aliento de ambrosía. Yo entonces bajo sin

[49] Alusión sin duda al episodio del joven Adonis, que había nacido de Mirra convertida en árbol.

ἆσθμα. τότε τοίνυν ἐγὼ ἀψοφητὶ κατιοῦσα ἐπ' ἄκρων τῶν δακτύλων βεβηκυῖα ὡς ἂν μὴ ἀνεγρόμενος ἐκταραχθείη—οἶσθα· τί οὖν ἄν σοι λέγοιμι τὰ μετὰ ταῦτα; πλὴν ἀπόλλυμαί γε ὑπὸ τοῦ ἔρωτος.

hacer ruido, caminando de puntillas para no despertarle y que se asuste. Ya sabes, pero... ¿a qué contarte lo que viene después? En una palabra; que me muero de amor.

20 (12)

AFRODITA Y EROS
Ἀφροδίτης καὶ Ἔρωτος

1 **Ἀφροδίτη** Ὦ τέκνον Ἔρως, ὅρα οἷα ποιεῖς· οὐ τὰ ἐν τῇ γῇ λέγω, ὁπόσα τοὺς ἀνθρώπους ἀναπείθεις καθ' αὑτῶν ἢ κατ' ἀλλήλων ἐργάζεσθαι, ἀλλὰ καὶ τὰ ἐν τῷ οὐρανῷ, ὃς τὸν μὲν Δία πολύμορφον ἐπιδεικνύεις ἀλλάττων ἐς ὅ τι ἂν σοι ἐπὶ τοῦ καιροῦ δοκῇ, τὴν Σελήνην δὲ καθαιρεῖς ἐκ τοῦ οὐρανοῦ, τὸν Ἥλιον δὲ παρὰ τῇ Κλυμένῃ βραδύνειν ἐνίοτε ἀναγκάζεις ἐπιλελησμένον τῆς ἱππασίας·

1 AFRODITA. — Eros, hijo mío; fíjate bien qué clase de faenas estás haciendo. Y no me refiero a las que induces a hacer a los hombres contra sí mismos o unos a otros, sino a las del cielo, que nos muestras a Zeus de mil formas diferentes, transformándolo en lo que se te antoja, según la ocasión; y a Selene la haces bajar del cielo y a Helios le obligas en ocasiones a racanear en casa de Clímene[50] olvidándose de sus labores de auriga.

ἃ μὲν γὰρ ἐς ἐμὲ τὴν μητέρα ὑβρίζεις, θαῤῥῶν ποιεῖς. ἀλλὰ σύ, ὦ τολμηρότατε, καὶ τὴν Ῥέαν αὐτὴν γραῦν ἤδη καὶ μητέρα τοσούτων θεῶν οὖσαν ἀνέπεισας παιδεραστεῖν καὶ τὸ Φρύγιον μειράκιον ποθεῖν,

Y tan campante actúas cuando te atreves a tomarme el pelo a mí, tu madre. Pero tú, caradura redomado, lograste convencer a la propia Rea, anciana y madre de dioses tan importantes, de que se enamorara de muchachos y de desear al jovencito frigio aquel.

καὶ νῦν ἐκείνη μέμηνεν ὑπὸ σοῦ καὶ ζευξαμένη τοὺς λέοντας, παραλαβοῦσα καὶ τοὺς Κορύβαντας ἅτε μανικοὺς καὶ αὐτοὺς ὄντας, ἄνω καὶ κάτω τὴν Ἴδην περιπολοῦσιν, ἡ μὲν ὀλολύζουσα ἐπὶ τῷ Ἄττῃ, οἱ Κορύβαντες δὲ ὁ μὲν αὐτῶν τέμνεται ξίφει τὸν πῆχυν, ὁ δὲ ἀνεὶς τὴν κόμην ἵεται μεμηνὼς διὰ τῶν ὀρῶν, ὁ δὲ αὐλεῖ τῷ κέρατι, ὁ δὲ ἐπιβομβεῖ τῷ τυμπάνῳ ἢ ἐπικτυπεῖ τῷ κυμβάλῳ, καὶ ὅλως θόρυβος καὶ μανία τὰ ἐν τῇ Ἴδῃ ἅπαντά ἐστι. δέδια τοίνυν ἅπαντα, δέδια τὸ τοιοῦτο ἡ τὸ μέγα σε κακὸν ἐγὼ τεκοῦσα, μὴ ἀπομανεῖσά ποτε ἡ Ῥέα ἢ καὶ μᾶλλον ἔτι ἐν αὑτῇ οὖσα κελεύσῃ τοὺς Κορύβαντας συλλαβόντας σε

Y ahora, enloquecida por ti, ha uncido al carro los leones, y ha tomado como compañeros a los coribantes, que están locos también, y van deambulando por el Ida arriba y abajo, la una dando alaridos por Atis y los coribantes, el uno se corta el codo con un puñal, el otro se suelta la melena y se lanza enloquecido por las montañas; el tercero toca un cuerno a modo de flauta; el cuarto golpea el tambor o toca los platillos; en resumen, todo es alboroto y locura en el Ida[51]. Conque temo, yo que te engendré a ti, semejante calamidad, temo, digo, no sea que Rea en un ataque de locura o, más bien aún, en sus propios cabales, ordene a los coribantes que te apresen y te

[50] La esposa legítima de Helios.

[51] Todo este cortejo de los fieles de Cibeles había sido parodiado por LUCIANO en *Podagra,* el primer opúsculo de este volumen. Véase al respecto su nota 4.

διασπάσασθαι ἢ τοῖς λέουσι παραβαλεῖν· ταῦτα δέδια κινδυνεύοντά σε ὁρῶσα.

descuarticen o te echen a los leones; eso es justamente lo que temo al verte expuesto a riesgos de esa índole.

2 **Ἔρως** Θάῤῥει, μῆτερ, ἐπεὶ καὶ τοῖς λέουσιν αὐτοῖς ἤδη ξυνήθης εἰμί, καὶ πολλάκις ἐπαναβὰς ἐπὶ τὰ νῶτα καὶ τῆς κόμης λαβόμενος ἡνιοχῶ αὐτούς, οἱ δὲ σαίνουσί με καὶ χεῖρα δεχόμενοι ἐς τὸ στόμα περιλιχμησάμενοι ἀποδιδόασί μοι. αὐτὴ μὲν γὰρ ἡ Ῥέα πότε ἂν ἐκείνη σχολὴν ἀγάγοι ἐπ' ἐμὲ ὅλη οὖσα ἐν τῷ Ἄττῃ; καίτοι τί ἐγὼ ἀδικῶ δεικνὺς τὰ καλὰ οἷά ἐστιν; ὑμεῖς δὲ μὴ ἐφίεσθε τῶν καλῶν· μὴ τοίνυν ἐμὲ αἰτιᾶσθε τούτων. ἢ θέλεις σύ, ὦ μῆτερ, αὐτὴ μηκέτι ἐρᾶν μήτε σὲ τοῦ Ἄρεως μήτε ἐκεῖνον σοῦ;

Ἀφροδίτη Ὡς δεινὸς εἶ καὶ κρατεῖς ἁπάντων· ἀλλὰ μεμνήσῃ μού ποτε τῶν λόγων.

2 EROS. — ¡Tranquila, madre, porque estoy acostumbrado a los leones mismos, y en muchas ocasiones montándome a lomos suyos y cogiéndolos de las melenas, con mis riendas los llevo! Ellos me acarician y recibiendo mi mano en sus fauces, me la devuelven luego de haberme lamido. La propia Rea, ¿cuándo va a tener tiempo libre para venir contra mí estando como está ella totalmente dedicada a Atis? Y además ¿en qué os falto yo al mostraros cuáles son las cosas bellas? ¿O es que prefieres, madre, no estar ya enamorada de Ares, ni él de ti?

AFRODITA. — ¡Qué listo eres y cómo sabes salirte siempre con la tuya! Ahora que algún día te acordarás de mis palabras.

21 (17)

APOLO Y HERMES
Ἀπόλλωνος καὶ Ἑρμοῦ

1 **Ἀπόλλων** Τί γελᾷς, ὦ Ἑρμῆ;
Ἑρμῆς Ὅτι γελοιότατα, ὦ Ἄπολλον, εἶδον.
Ἀπόλλων Εἰπὲ οὖν, ὡς καὶ αὐτὸς ἀκούσας ἔχω ξυγγελᾶν.
Ἑρμῆς Ἡ Ἀφροδίτη ξυνοῦσα τῷ Ἄρει κατείληπται καὶ ὁ Ἥφαιστος ἔδησεν αὐτοὺς ξυλλαβών.
Ἀπόλλων Πῶς; ἡδὺ γάρ τι ἐρεῖν ἔοικας.

Ἑρμῆς Ἐκ πολλοῦ, οἶμαι, ταῦτα εἰδὼς ἐθήρευεν αὐτούς, καὶ περὶ τὴν εὐνὴν ἀφανῆ δεσμὰ περιθεὶς εἰργάζετο ἀπελθὼν ἐπὶ τὴν κάμινον· εἶτα ὁ μὲν Ἄρης ἐσέρχεται λαθών, ὡς ᾤετο, καθορᾷ δὲ αὐτὸν ὁ Ἥλιος καὶ λέγει πρὸς τὸν Ἥφαιστον. ἐπεὶ δὲ ἐπέβησαν τοῦ λέχους καὶ ἐν ἔργῳ ἦσαν καὶ ἐντὸς ἐγεγένηντο τῶν ἀρκύων, περιπλέκεται μὲν αὐτοῖς τὰ δεσμά, ἐφίσταται δὲ ὁ Ἥφαιστος. ἐκείνη μὲν οὖν—καὶ γὰρ ἔτυχε γυμνὴ οὖσα—οὐκ εἶχεν ὅπως ἐγκαλύψαιτο αἰδουμένη, ὁ δὲ Ἄρης τὰ μὲν πρῶτα διαφυγεῖν ἐπειρᾶτο καὶ ἤλπιζε ῥήξειν τὰ δεσμά, ἔπειτα δέ, συνεὶς ἐν ἀφύκτῳ ἐχόμενον ἑαυτὸν, ἱκέτευεν.
2 **Ἀπόλλων** Τί οὖν; ἀπέλυσεν αὐτὸν ὁ Ἥφαιστος;
Ἑρμῆς Οὐδέπω, ἀλλὰ ξυγκαλέσας τοὺς θεοὺς ἐπιδείκνυται τὴν μοιχείαν αὐτοῖς· οἱ δὲ γυμνοὶ ἀμφότεροι κάτω νενευκότες ξυνδεδεμένοι ἐρυθριῶσι, καὶ τὸ θέαμα ἥδιστον ἐμοὶ ἔδοξε μονονουχὶ αὐτὸ γινόμενον τὸ ἔργον.

1 APOLO. — ¿De qué te ríes, Hermes?
HERMES. — De una cosa divertidísima que he visto, Apolo.
APOLO. — Cuéntamela para que la oiga y me ría yo también contigo.
HERMES. — Afrodita ha sido pillada cuando estaba acostada con Ares, y Hefesto los ha atrapado y los ha atenazado.
APOLO. — ¿Cómo? Me parece que vas a contar algo gracioso.
HERMES. — Conocedor del asunto, desde hace mucho los venía acechando y luego de colocar en derredor de la cama una red invisible con bastante trabajo, se marchó a la fragua. Ares entonces, va y entra sin ser visto —eso al menos creía él—, pero Helios lo ve y se lo cuenta a Hefesto. Y cuando habían subido a la cama y estaban en plena acción ya dentro de los lazos, la red los envuelve al tiempo que se presenta Hefesto. Afrodita, que estaba desnuda, no tenía, muerta de vergüenza, con qué taparse[52]; Ares por su parte en un principio intentó escapar con la esperanza de rasgar la red, pero luego, dándose cuenta de que estaba atrapado sin escapatoria posible, se deshacía en súplicas.
2 APOLO. — ¿Y qué pasó? ¿Lo soltó Hefesto?
HERMES. — Aún no, antes bien, convocando a los dioses, va y les muestra el adulterio. Y ellos dos, desnudos, con la cabeza gacha y encadenados juntos estaban rojos de vergüenza. Y el espectáculo me pareció divertidísimo, pillados poco menos que *in*

---

[52] La dignísima Afrodita pillada *in fraganti* en pleno lance amoroso con Ares; el episodio cómico, donde los haya, está glosado en *Odisea* VIII 266 y sigs. También aquí se han mantenido las variaciones temporales y aspectuales que tiene el relato de Hermes.

fraganti.

Ἀπόλλων Ὁ δὲ χαλκεὺς ἐκεῖνος οὐκ αἰδεῖται καὶ αὐτὸς ἐπιδεικνύμενος τὴν αἰσχύνην τοῦ γάμου;

APOLO. — ¿Y no le da vergüenza al herrero ese exponer a los cuatro vientos la afrenta de su matrimonio?

Ἑρμῆς Μὰ Δί', ὅς γε καὶ ἐπιγελᾷ ἐφεστὼς αὐτοῖς. ἐγὼ μέντοι, εἰ χρὴ τἀληθὲς εἰπεῖν, ἐφθόνουν τῷ Ἄρει μὴ μόνον μοιχεύσαντι τὴν καλλίστην θεόν, ἀλλὰ καὶ δεδεμένῳ μετ' αὐτῆς.

HERMES. ¡Qué va!, por Zeus, pues plantado a su vera, se ríe de ellos. Yo al menos, si he de serte sincero, sentía envidia de Ares no sólo porque se estaba tirando a la diosa más hermosa sino también por estar encadenado con ella.

Ἀπόλλων Οὐκοῦν καὶ δεδέσθαι ἂν ὑπέμεινας ἐπὶ τούτῳ;

APOLO. — ¿Entonces en esas condiciones aguantarías el ser encadenado?

Ἑρμῆς Σὺ δ' οὐκ ἄν, ὦ Ἄπολλον; ἰδὲ μόνον ἐπελθών· ἐπαινέσομαι γάρ σε, ἢν μὴ τὰ ὅμοια καὶ αὐτὸς εὔξῃ ἰδών.

HERMES. — ¿Y tú no, Apolo? Simplemente acércate y mira, que yo te felicitaré si al verlos no suplicas que te suceda a ti lo mismo.

22 (18)

HERA Y ZEUS
Ἥρας καὶ Διός

1 **Ἥρα** Ἐγὼ μὲν ᾐσχυνόμην ἄν, ὦ Ζεῦ, εἴ μοι τοιοῦτος υἱὸς ἦν, θῆλυς οὕτω καὶ διεφθαρμένος ὑπὸ τῆς μέθης, μίτρᾳ μὲν ἀναδεδεμένος τὴν κόμην, τὰ πολλὰ δὲ μαινομέναις γυναιξὶ συνών, ἁβρότερος αὐτῶν ἐκείνων, ὑπὸ τυμπάνοις καὶ αὐλῷ καὶ κυμβάλοις χορεύων, καὶ ὅλως παντὶ μᾶλλον ἐοικὼς ἢ σοὶ τῷ πατρί.

1 HERA. — A mí, desde luego, me daría vergüenza, Zeus, tener un hijo como tú, tan afeminado y tan echado a perder por la bebida, que se ciñe la cabeza con la mitra, que en muchas ocasiones está con mujeres medio locas, más afeminado que ellas, bailando al son de tambores, flautas y platillos, y que, por decirlo en dos palabras, se parece a cualquiera más que a ti, su padre.

Ζεύς Καὶ μὴν οὗτός γε ὁ θηλυμίτρης, ὁ ἁβρότερος τῶν γυναικῶν οὐ μόνον, ὦ Ἥρα, τὴν Λυδίαν ἐχειρώσατο καὶ τοὺς κατοικοῦντας τὸν Τμῶλον ἔλαβε καὶ Θρᾷκας ὑπηγάγετο, ἀλλὰ καὶ ἐπ' Ἰνδοὺς ἐλάσας τῷ γυναικείῳ τούτῳ στρατιωτικῷ τούς τε ἐλέφαντας εἷλε καὶ τῆς χώρας ἐκράτησε καὶ τὸν βασιλέα πρὸς ὀλίγον ἀντιστῆναι τολμήσαντα αἰχμάλωτον ἀπήγαγε, καὶ ταῦτα πάντα ἔπραξεν ὀρχούμενος ἅμα καὶ χορεύων θύρσοις χρώμενος κιττίνοις, μεθύων, ὡς φῄς, καὶ ἐνθεάζων. εἰ δέ τις ἐπεχείρησε λοιδορήσασθαι αὐτῷ ὑβρίσας ἐς τὴν τελετήν, καὶ τοῦτον ἐτιμωρήσατο ἢ καταδήσας τοῖς κλήμασιν ἢ διασπασθῆναι ποιήσας ὑπὸ τῆς μητρὸς ὥσπερ νεβρόν. ὁρᾷς ὡς ἀνδρεῖα ταῦτα καὶ οὐκ ἀνάξια τοῦ πατρός; εἰ δὲ παιδιὰ καὶ τρυφὴ πρόσεστιν αὐτοῖς, οὐδεὶς φθόνος, καὶ μάλιστα εἰ λογίσαιτό τις, οἷος ἂν οὗτος νήφων ἦν, ὅπου ταῦτα μεθύων ποιεῖ.

ZEUS. — Pues mira; ese afeminado tocado con la mitra, el más amanerado que las mujeres, no sólo sometió Lidia y a sus habitantes y tomó el Tmolo y sometió a los tracios, sino que lanzándose sobre los indos con esa especie de tropa mujeril capturó los elefantes, se hizo dueño de su territorio y se llevó preso al rey que se atrevió a ofrecer una ligera resistencia. Y todo eso lo hizo al tiempo que bailaba y danzaba con los coros, utilizando tirsos y yedra[53], borracho, como tú dices, y «entusiasmado»[54]. Y si alguien intenta meterse con él tomándole el pelo a cuenta de los rituales de iniciación, a ese también lo castiga, atándolo con sarmientos o haciendo que sea despedazado por su madre como un ciervo. ¿Ves qué varoniles resultan estas acciones y que no son indignas de su padre? Y si a todo se le añaden diversiones y un cierto libertinaje, no hay que echárselo en cara, máxime si se tiene en cuenta cómo se comportaría estando sobrio cuando hace todo eso

[53] Toda la caracterización de Dioniso concuerda perfectamente con la que pinta EURÍPIDES en *Bacantes.*

[54] El término queda entrecomillado porque es así como se recoge en griego el término *enthousiasmós* para denominar el escudo de posesión que proporciona a los devotos del dios el «tenerlo dentro» —«en-theo-siasmos»—.

estando borracho.

2 **Ἥρα** Σύ μοι δοκεῖς ἐπαινέσεσθαι καὶ τὸ εὕρεμα αὐτοῦ, τὴν ἄμπελον καὶ τὸν οἶνον, καὶ ταῦτα ὁρῶν οἷα οἱ μεθυσθέντες ποιοῦσι σφαλλόμενοι καὶ πρὸς ὕβριν τρεπόμενοι καὶ ὅλως μεμηνότες ὑπὸ τοῦ ποτοῦ· τὸν γοῦν Ἰκάριον, ᾧ πρώτῳ ἔδωκεν τὸ κλῆμα, οἱ ξυμπόται αὐτοὶ διέφθειραν παίοντες ταῖς δικέλλαις.

2 HERA. — Me parece que tú también vas a aplaudir su descubrimiento, a saber, la vid y el vino, y ello pese a ver la actitud que adoptan los borrachos que se tambalean y se dedican a fastidiar a la gente, en una palabra, que pierden la cabeza por acción de la bebida. Al menos a Icario, que es a quien primero dio la cepa de la vid, sus compañeros de bebida lo destruyeron golpeándole con las azadas de doble filo[55].

Ζεύς ὐδὲν τοῦτο φῄς· οὐ γὰρ οἶνος ταῦτα οὐδὲ ὁ Διόνυσος ποιεῖ, τὸ δὲ ἄμετρον τῆς πόσεως καὶ τὸ πέρα τοῦ καλῶς ἔχοντος ἐμφορεῖσθαι τοῦ ἀκράτου. ὃς δ' ἂν ἔμμετρα πίνῃ, ἱλαρώτερος μὲν καὶ ἡδίων γένοιτ' ἄν· οἷον δὲ ὁ Ἰκάριος ἔπαθεν, οὐδὲν ἂν ἐργάσαιτο οὐδένα τῶν ξυμποτῶν. ἀλλὰ σὺ ἔτι ζηλοτυπεῖν ἔοικας, ὦ Ἥρα, καὶ τῆς Σεμέλης μνημονεύειν, ἥ γε διαβάλλεις τοῦ Διονύσου τὰ κάλλιστα.

ZEUS. — No digas eso, que no son ni el vino ni Dioniso quienes producen esos efectos, sino la falta de moderación en la bebida y el hacerse llenar hasta rebosar la copa de vino puro por encima de lo normal. Pues quien beba con moderación podría resultar bastante gracioso y divertido, y jamás de los jamases le haría a ningún compañero de bebida lo que pasó a Icario. Pero me parece, Hera, que aún estás celosa y que te acuerdas de Sémele y te dedicas a censurar las mejores cualidades de Dioniso.

[55] Alusión a un legendario héroe ateniense, padre de Erígone. Sobre su muerte, cf. APOLODORO, III 14, 7.

23 (19)

AFRODITA Y EROS

Ἀφροδίτης καὶ Ἔρωτος

1 **Ἀφροδίτη** Τί δήποτε, ὦ Ἔρως, τοὺς μὲν ἄλλους θεοὺς κατηγωνίσω ἅπαντας, τὸν Δία, τὸν Ποσειδῶ, τὸν Ἀπόλλω, τὴν Ῥέαν, ἐμὲ τὴν μητέρα, μόνης δὲ ἀπέχῃ τῆς Ἀθηνᾶς καὶ ἐπ' ἐκείνης ἄπυρος μέν σοι ἡ δᾴς, κενὴ δὲ οἰστῶν ἡ φαρέτρα, σὺ δὲ ἄτοξος εἶ καὶ ἄστοχος;

1 AFRODITA. — En fin, Eros, ¿a cuento de qué te has enfrentado con todos los demás dioses, Zeus, Poseidón, Apolo, Rea y conmigo, tu madre, y únicamente te has mantenido a distancia de Atenea, y al contacto con ella se te apaga la antorcha, se te vacía de flechas el carcaj y pierdes el arco y la puntería?

Ἔρως Δέδια, ὦ μῆτερ, αὐτήν· φοβερὰ γάρ ἐστι καὶ χαροπὴ καὶ δεινῶς ἀνδρική· ὁπόταν γοῦν ἐντεινάμενος τὸ τόξον ἴω ἐπ' αὐτήν, ἐπισείουσα τὸν λόφον ἐκπλήττει με καὶ ὑπότρομος γίνομαι καὶ ἀπορρεῖ μου τὰ τοξεύματα ἐκ τῶν χειρῶν.

EROS. — Le tengo miedo madre, pues resulta espantosa, de mirada radiante y terriblemente varonil. Y cuando tensando el arco intento dispararle, agitando el penacho me asusta, y me pongo a temblar y se me escurren las flechas de las manos.

Ἀφροδίτη Ὁ Ἄρης γὰρ οὐ φοβερώτερος ἦν; καὶ ὅμως ἀφώπλισας αὐτὸν καὶ νενίκηκας.

AFRODITA. — ¿Y acaso no daba más miedo Ares? Y sin embargo lo desarmaste y lo venciste.

Ἔρως Ἀλλὰ ἐκεῖνος ἑκὼν προσίεταί με καὶ προσκαλεῖται, ἡ Ἀθηνᾶ δὲ ὑφορᾶται ἀεί, καί ποτε ἐγὼ μὲν ἄλλως παρέπτην πλησίον ἔχων τὴν λαμπάδα, ἡ δέ, Εἴ μοι πρόσει, φησί, νὴ τὸν πατέρα, τῷ δορατίῳ σε διαπείρασα ἢ τοῦ ποδὸς λαβομένη καὶ ἐς τὸν Τάρταρον ἐμβαλοῦσα ἢ αὐτὴ διασπασαμένη πολλὰ τοιαῦτα ἠπείλησε· καὶ ὁρᾷ δὲ δριμὺ καὶ ἐπὶ τοῦ στήθους ἔχει πρόσωπόν τι φοβερὸν ἐχίδναις κατάκομον, ὅπερ ἐγὼ μάλιστα δέδια· μορμολύττεται γάρ με καὶ φεύγω, ὅταν ἴδω αὐτό.

EROS. — Pero es que él me acepta y me recibe de buena gana, en tanto que Atenea me está siempre mirando de reojo y en cierta ocasión que yo iba volando cerca de ella con la antorcha me dijo: si te acercas a mí, por mi padre que o te atravesaré con mi lanza o cogiéndote de un pie te tiraré al Tártaro o yo misma te descuartizaré; diversas amenazas de esa índole me lanzó. Tiene una mirada penetrante, y pegado al pecho lleva un rostro que da miedo[56] con cabellera de víboras, y eso es precisamente lo que más miedo me da. Me asusta y luego huyo cada vez que la veo.

2 **Ἀφροδίτη** Ἀλλὰ τὴν μὲν Ἀθηνᾶν δέδιας, ὡς φῄς, καὶ τὴν Γοργόνα, καὶ ταῦτα μὴ φοβηθεὶς τὸν κεραυνὸν τοῦ Διός. αἱ δὲ Μοῦσαι διὰ τί σοι ἄτρωτοι καὶ ἔξω βελῶν εἰσιν; κἀκεῖναι λόφους ἐπισείουσιν καὶ

2 AFRODITA. — Así que te dan miedo Atenea y la Gorgona, pero no temes en cambio el rayo de Zeus. Y las musas ¿por qué están indemnes y fuera del radio de acción de tus flechas? ¿O es que ellas

[56] Alusión a la cabeza de la Gorgona Medusa que dejaba petrificado a quien le dirigía la mirada.

Γοργόνας προφαίνουσιν;

también agitan penachos y exhiben gorgonas?

Ἔρως Αἰδοῦμαι αὐτάς, ὦ μῆτερ· σεμναὶ γάρ εἰσιν καὶ ἀεί τι φροντίζουσιν καὶ περὶ ᾠδὴν ἔχουσι καὶ ἐγὼ παρίσταμαι πολλάκις αὐταῖς κηλούμενος ὑπὸ τοῦ μέλους.

EROS. — Siento respeto ante ellas, madre, pues son venerables, tienen constantes inquietudes, se preocupan del canto y yo en muchas ocasiones me quedo plantado a su lado hechizado por su melodía.

Ἀφροδίτη Ἔα καὶ ταύτας, ὅτι σεμναί· τὴν δὲ Ἄρτεμιν τίνος ἕνεκα οὐ τιτρώσκεις;

AFRODITA. — Déjalas, pues, ya que son venerables; y ¿por qué razón no hieres a Ártemis?

Ἔρως Τὸ μὲν ὅλον οὐδὲ καταλαβεῖν αὐτὴν οἷόν τε φεύγουσαν ἀεὶ διὰ τῶν ὀρῶν· εἶτα καὶ ἴδιόν τινα ἔρωτα ἤδη ἐρᾷ.

EROS. — Pues simplemente porque no la puedo capturar, ya que anda siempre huyendo de mí por las montañas y además tiene ya su amor particular.

Ἀφροδίτη Τίνος, ὦ τέκνον;

AFRODITA. — ¿Cuál es, hijo?

Ἔρως Θήρας καὶ ἐλάφων καὶ νεβρῶν, αἱρεῖν τε διώκουσα καὶ κατατοξεύειν, καὶ ὅλως πρὸς τῷ τοιούτῳ ἐστίν· ἐπεὶ τόν γε ἀδελφὸν αὐτῆς, καίτοι τοξότην καὶ αὐτὸν ὄντα καὶ ἑκηβόλον -

EROS. — Caza, ciervos y cervatillos que persigue para cogerlos y atravesarlos con sus flechas; no vive más que para eso. Porque en lo que respecta a su hermano que es también arquero y tirador certero...

Ἀφροδίτη Οἶδα, ὦ τέκνον, πολλὰ ἐκεῖνον ἐτόξευσας.

AFRODITA. — Ya lo sé, hijo, que en muchas ocasiones lo has herido con tus flechas.

24 (25)

ZEUS Y HELIOS
Διὸς καὶ Ἡλίου

1 **Ζεύς** Οἷα πεποίηκας, ὦ Τιτάνων κάκιστε; ἀπολώλεκας τὰ ἐν τῇ γῇ ἅπαντα, μειρακίῳ ἀνοήτῳ πιστεύσας τὸ ἅρμα, ὃς τὰ μὲν κατέφλεξε πρόσγειος ἐνεχθείς, τὰ δὲ ὑπὸ κρύους διαφθαρῆναι ἐποίησε πολὺ αὐτῶν ἀποσπάσας τὸ πῦρ, καὶ ὅλως οὐδὲν ὅ τι οὐ ξυνετάραξε καὶ ξυνέχεε, καὶ εἰ μὴ ἐγὼ ξυνεὶς τὸ γιγνόμενον κατέβαλον αὐτὸν τῷ κεραυνῷ, οὐδὲ λείψανον ἀνθρώπων ἐπέμεινεν ἄν· τοιοῦτον ἡμῖν τὸν καλὸν ἡνίοχον καὶ διφρηλάτην ἐκπέπομφας.

Ἥλιος Ἥμαρτον, ὦ Ζεῦ, ἀλλὰ μὴ χαλέπαινε, εἰ ἐπείσθην υἱῷ πολλὰ ἱκετεύοντι· πόθεν γὰρ ἂν καὶ ἤλπισα τηλικοῦτο γενήσεσθαι κακόν;

Ζεύς Οὐκ ᾔδεις, ὅσης ἐδεῖτο ἀκριβείας τὸ πρᾶγμα καὶ ὡς, εἰ βραχύ τις ἐκβαίη τῆς ὁδοῦ, οἴχεται πάντα; ἠγνόεις δὲ καὶ τῶν ἵππων τὸν θυμόν, ὡς δεῖ ξυνέχειν ἀνάγκῃ τὸν χαλινόν; εἰ γὰρ ἐνδοίη τις, ἀφηνιάζουσιν εὐθύς, ὥσπερ ἀμέλει καὶ τοῦτον ἐξήνεγκαν, ἄρτι μὲν ἐπὶ τὰ λαιά, μετ' ὀλίγον δὲ ἐπὶ τὰ δεξιά, καὶ ἐς τὸ ἐναντίον τοῦ δρόμου ἐνίοτε, καὶ ἄνω καὶ κάτω, ὅλως ἔνθα ἐβούλοντο αὐτοί· ὁ δὲ οὐκ εἶχεν ὅ τι χρήσαιτο αὐτοῖς.

2 **Ἥλιος** Πάντα μὲν ἠπιστάμην ταῦτα καὶ διὰ τοῦτο ἀντεῖχον ἐπὶ πολὺ καὶ οὐκ ἐπίστευον αὐτῷ τὴν ἔλασιν· ἐπεὶ δὲ κατελιπάρησε δακρύων καὶ ἡ μήτηρ Κλυμένη μετ' αὐτοῦ, ἀναβιβασάμενος ἐπὶ τὸ ἅρμα ὑπεθέμην, ὅπως μὲν χρὴ

1 ZEUS. — ¡Qué es lo que has hecho, tú, el peor de los Titanes! Has echado a perder todo lo que hay en la tierra, confiando tu carro a un muchacho inconsciente[57] que acercándose tanto ha abrasado una parte de su superficie, y ha hecho que otra quede yerma por el frío, alejando demasiado el fuego; en dos palabras, no ha quedado lugar sin trastocar ni revolver, y si yo, al percatarme de lo sucedido no lo hubiera derribado con el rayo, no quedaría ni rastro de la humanidad. ¡Vaya un auriga y un cochero estupendo que nos has enviado!

HELIOS. — Me equivoqué, Zeus, pero no te enfades porque haya hecho caso a mi hijo, que se deshacía en súplicas. ¿De qué iba yo a esperar que fuera a suceder una cosa así?

ZEUS. — ¿Es que no sabías con cuánto rigor hay que llevar el tema y que a poco que uno se desvía del itinerario se va todo a pique? ¿Desconocías también el brío de los caballos y cómo hay que sujetarlos forzosamente con el freno? Porque si uno les da opción, al instante se desbocan, como lo han llevado a él, ahora a la izquierda y después a la derecha, alguna vez en sentido opuesto, arriba y abajo; en una palabra, adonde les ha venido en gana. Y él no podría hacerse con ellos.

2 HELIOS. — Claro que sabía yo todas estas circunstancias y precisamente por ello oponía yo mucha resistencia y no le quería confiar la conducción del carro. Pero puesto que se deshacía en súplicas llorando y con él su madre Clímene, subiéndome al carro

[57] Faetón, hijo de Helios y de Clímene.

βεβηκέναι αὐτόν, ἐφ' ὁπόσον δὲ ἐς τὸ ἄνω ἀφέντα ὑπερενεχθῆναι, εἶτα ἐς τὸ κάταντες αὖθις ἐπινεύειν καὶ ὡς ἐγκρατῆ εἶναι τῶν ἡνιῶν καὶ μὴ ἐφιέναι τῷ θυμῷ τῶν ἵππων· εἶπον δὲ καὶ ἡλίκος ὁ κίνδυνος, εἰ μὴ ὀρθὴν ἐλαύνοι· ὁ δὲ—παῖς γὰρ ἦν—ἐπιβὰς τοσούτου πυρὸς καὶ ἐπικύψας ἐς βάθος ἀχανὲς ἐξεπλάγη, ὡς τὸ εἰκός· οἱ δὲ ἵπποι ὡς ᾔσθοντο οὐκ ὄντα ἐμὲ τὸν ἐπιβεβηκότα, καταφρονήσαντες τοῦ μειρακίου ἐξετράποντο τῆς ὁδοῦ καὶ τὰ δεινὰ ταῦτα ἐποίησαν· ὁ δὲ τὰς ἡνίας ἀφείς, οἶμαι δεδιὼς μὴ ἐκπέσῃ αὐτός, εἴχετο τῆς ἄντυγος. ἀλλὰ ἐκεῖνός τε ἤδη ἔχει τὴν δίκην κἀμοί, ὦ Ζεῦ, ἱκανὸν τὸ πένθος.

le explique cómo debía mantenerse a pie firme, por cuánto espacio de tiempo debía aflojar las riendas al ser llevado hacia arriba, y luego al contrario para bajar y cómo había que dominar las riendas sin dejarse llevar por el brío de los caballos; y le expliqué la clase de riesgo que existía si no mantenía el rumbo. Pero él —que claro, era un niño— al montar sobre tanto fuego y al asomarse a un abismo tan profundo, se aterrorizó, como es natural. Los caballos al percatarse de que no era yo el que iba en el carro, menospreciaron al muchacho, se salieron de su ruta y llevaron a cabo las terribles acciones que te he explicado. Él soltó las riendas, creo yo, temiendo caerse al tiempo que se agarraba a la barandilla delantera del carro. En fin, creo que él ya tiene bastante castigo, Zeus, y yo bastante sufrimiento.

Ζεύς Ἱκανὸν λέγεις τοιαῦτα τολμήσας; νῦν μὲν οὖν συγγνώμην ἀπονέμω σοι, ἐς δὲ τὸ λοιπόν, ἤν τι ὅμοιον παρανομήσῃς ἤ τινα τοιοῦτον σεαυτοῦ διάδοχον ἐκπέμψῃς, αὐτίκα εἴσῃ, ὁπόσον τοῦ σοῦ πυρὸς ὁ κεραυνὸς πυρωδέστερος. ὥστε ἐκεῖνον μὲν αἱ ἀδελφαὶ θαπτέτωσαν ἐπὶ τῷ Ἠριδανῷ, ἵναπερ ἔπεσεν ἐκδιφρευθείς, ἤλεκτρον ἐπ' αὐτῷ δακρύουσαι καὶ αἴγειροι γενέσθωσαν ἐπὶ τῷ πάθει, σὺ δὲ ξυμπηξάμενος τὸ ἅρμα—κατέαγε δὲ καὶ ὁ ῥυμὸς αὐτοῦ καὶ ἅτερος τῶν τροχῶν συντέτριπται ἔλαυνε ἐπαγαγὼν τοὺς ἵππους. ἀλλὰ μέμνησο τούτων ἁπάντων.

ZEUS. — ¿Bastante, dices, luego de tan gran atrevimiento? Ahora te perdono, pero en lo sucesivo si vuelves a atropellar la ley de un modo parecido o envías a un sustituto tuyo de ese mismo estilo, te vas a enterar al punto en qué medida mi rayo es más abrasador que tu fuego. Así que, a ese hombre que le entierren sus hermanas en la ribera del Erídano[58], justo donde cayó al salir despedido del carro, y que llorando por él lágrimas de ámbar se conviertan en álamos negros en memoria de su sufrimiento. Y tú luego de reparar el carro —se rompió el timón y una de las ruedas está hecha trizas— y de enganchar los caballos, avanza; pero acuérdate de todas estas recomendaciones.

[58] Nombre de un río mítico que se menciona en la saga de Heracles en las aventuras de los Argonautas y que se identificó posteriormente con el Ródano o con el Po.

25 (26)

APOLO Y HERMES
Ἀπόλλωνος καὶ Ἑρμοῦ

1 **Ἀπόλλων** Ἔχεις μοι εἰπεῖν, ὦ Ἑρμῆ, πότερος ὁ Κάστωρ ἐστὶ τούτων ἢ πότερος ὁ Πολυδεύκης; ἐγὼ γὰρ οὐκ ἂν διακρίναιμι αὐτούς.

Ἑρμῆς Ὁ μὲν χθὲς ἡμῖν ξυγγενόμενος ἐκεῖνος Κάστωρ ἦν, οὗτος δὲ Πολυδεύκης.

Ἀπόλλων Πῶς διαγινώσκεις; ὅμοιοι γάρ.

Ἑρμῆς Ὅτι οὗτος μέν, ὦ Ἄπολλον, ἔχει ἐπὶ τοῦ προσώπου τὰ ἴχνη τῶν τραυμάτων ἃ ἔλαβε παρὰ τῶν ἀνταγωνιστῶν πυκτεύων, καὶ μάλιστα ὁπόσα ὑπὸ τοῦ Βέβρυκος Ἀμύκου ἐτρώθη τῷ Ἰάσονι συμπλέων, ἅτερος δὲ οὐδὲν τοιοῦτον ἐμφαίνει, ἀλλὰ καθαρός ἐστι καὶ ἀπαθὴς τὸ πρόσωπον.

Ἀπόλλων Ὤνησας διδάξας τὰ γνωρίσματα, ἐπεὶ τά γε ἄλλα πάντα ἴσα, τοῦ ᾠοῦ τὸ ἡμίτομον καὶ ἀστὴρ ὑπεράνω καὶ ἀκόντιον ἐν τῇ χειρὶ καὶ ἵππος ἑκατέρῳ λευκός, ὥστε πολλάκις ἐγὼ τὸν μὲν προσεῖπον Κάστορα Πολυδεύκην ὄντα, τὸν δὲ τῷ τοῦ Πολυδεύκους ὀνόματι. ἀτὰρ εἰπέ μοι καὶ τόδε, τί δήποτε οὐκ ἄμφω ξύνεισιν ἡμῖν, ἀλλ' ἐξ ἡμισείας ἄρτι μὲν νεκρός, ἄρτι δὲ θεός ἐστιν ἅτερος αὐτῶν;

Ἑρμῆς Ὑπὸ φιλαδελφίας τοῦτο ποιοῦσιν· ἐπεὶ γὰρ ἔδει ἕνα μὲν τεθνάναι τῶν Λήδας υἱέων, ἕνα δὲ ἀθάνατον εἶναι, ἐνείμαντο οὕτως αὐτοὶ τὴν ἀθανασίαν.

Ἀπόλλων Οὐ ξυνετήν, ὦ Ἑρμῆ, τὴν νομήν, οἵ γε οὐδὲ ὄψονται οὕτως ἀλλήλους, ὅπερ ἐπόθουν, οἶμαι, μάλιστα· πῶς γάρ, ὁ μὲν παρὰ θεοῖς, ὁ δὲ παρὰ τοῖς φθιτοῖς ὤν; πλὴν ἀλλ' ὥσπερ ἐγὼ

1 APOLO. — ¿Puedes decirme, Hermes, cuál de estos dos es Cástor y cuál Pólux?[59]. Porque yo no sería capaz de distinguirlos.

HERMES. — El que estuvo ayer con nosotros es Cástor y este otro, Pólux.

APOLO. — ¿Y cómo los distingues, pues son idénticos?

HERMES. — Pues porque éste, Apolo, mantiene en su rostro las cicatrices de las heridas que recibió de sus contrincantes cuando boxeaba, y en especial las que recibió de Ámico el bébrice cuando navegaba con Jasón[60]; el otro, en cambio, no muestra nada semejante sino que tiene el rostro limpio e incólume.

APOLO. — Me ha venido muy bien que me explicaras estas señales para identificarlos, puesto que tienen todo lo demás igual; el medio cascarón del huevo, una estrella encima y un dardo en la mano y un caballo blanco cada uno, hasta el punto de que yo he llamado muchas veces Cástor al que era Pólux y Pólux al que era Cástor. Pero dime, ¿por qué diablos no están los dos con nosotros sino que a partes iguales uno está hoy muerto y mañana es un dios?

2 HERMES. — Actúan así por amor fraterno ya que de los hijos de Leda uno tenía que morir, y otro ser inmortal; así que se repartieron la inmortalidad.

APOLO. — Pues no es muy inteligente el reparto, Hermes, ya que de este modo no se verán nunca el uno al otro, que es lo que en el fondo estaban deseando, creo yo. ¿Cómo si está el uno entre los dioses y el otro entre

---

[59] Los Dioscuros, Cástor y Pólux, hermanos gemelos, hijos de Zeus y Leda.

[60] El episodio aparece narrado en APOLONIO RODIO, *Argonáutica* II 1 y sigs., y APOLODORO, 1 9, 20.

μαντεύομαι, ὁ δὲ Ἀσκληπιὸς ἰᾶται, σὺ δὲ παλαίειν διδάσκεις παιδοτρίβης ἄριστος ὤν, ἡ δὲ Ἄρτεμις μαιεύεται καὶ τῶν ἄλλων ἕκαστος ἔχει τινὰ τέχνην ἢ θεοῖς ἢ ἀνθρώποις χρησίμην, οὗτοι δὲ τί ποιήσουσιν ἡμῖν; ἢ ἀργοὶ εὐωχήσονται τηλικοῦτοι ὄντες;


los mortales? Además, igual que yo doy oráculos y Asclepio cura a los enfermos y tú enseñas a pelear, pues eres un maestro excelente, y Ártemis ayuda a dar a luz, y cada uno de los demás tiene una misión útil o a dioses o a hombres, ¿qué diablos es lo que van a hacer éstos? ¿O es que precisan pasarlo en grande sin dar golpe con los años que tienen ya?

Ἑρμῆς Οὐδαμῶς, ἀλλὰ προστέτακται αὐτοῖν ὑπηρετεῖν τῷ Ποσειδῶνι καὶ καθιππεύειν δεῖ τὸ πέλαγος καὶ ἐάν που ναύτας χειμαζομένους ἴδωσιν, ἐπικαθίσαντας ἐπὶ τὸ πλοῖον σῴζειν τοὺς ἐμπλέοντας.

HERMES. — En absoluto, sino que se les ha ordenado ponerse al servicio de Poseidón y tienen que surcar el ponto a caballo y caso que vean a marineros víctimas de una tempestad, subiendo a bordo, salvar a los navegantes[61].

Ἀπόλλων Ἀγαθήν, ὦ Ἑρμῆ, καὶ σωτήριον λέγεις τὴν τέχνην.

APOLO. — Buena y saludable misión esa que dices, Hermes.



[61] Esta misión de Cástor y Pólux es mencionada ya con toda claridad por ALCEO DE MITILENE, fr. 78D.